μητ(ρὸς) Σουηριος [τετελ(ευτηκυίας) ἀτέκ(νως) κ]α̣ὶ̣
ἀδιαθ(έτως) ἐπ' αὐτῇ [μόνῃ κληρονόμῳ]
ἣν παρακεχώ(ρηται) [ἡ Σούηρις τῷ]
ιθ (l. ιϛ' ἔτει) θεοῦ Αἰλίου Ἀντωνε[ί]νου *a. 153*
δι' ἀγορ(-(α)νομίας) περὶ Τεκμει ὑπὸ Ἀφύγ
χιος Ἀλεξᾶτος μητ(ρὸς) Εἰρᾶτος
ἀπὸ κω̄(μης) Ταβοκλεως ἣν ἀπε
γρ(-(ά)ψατο) ἀ(πὸ) τῆς μάμμης Θενκολ
λούθ(ου) Ἀχιλλέως Ἀλεξάνδρου̣
μητ(ρὸς) Θαήσιος πε[ρὶ] κώ(μην) Τα]να
σω ἐκ τοῦ Θεοδμ[ήτου] κ̄(λήρου)
ἀπὸ ∠ (l. ἀρουρῶν) β μεθ' ἣν π̣[αρεχώρ]ησεν
ἡ Θενκόλλουθος ∠ (l. ἄρουραν) α [τ]ὴν λο̣ι̣
πὴν ∠ (l. ἄρουραν) α καὶ ἐπὶ τοῦ [τ]ότε
καταχωρισ̄(μοῦ) δεδηλ(ωται) τὴ[ν] Ἀσκλα
τάριον διεστρῶσθα[ι] ——
καὶ διακ(εῖσθαι) ἐν ὀνό(ματι) αὐτ(ῆς) σ̣υ̣[ν]φώνως (·)
διὸ ἐπιδ(ίδωμι) τόδε τὸ ὑπό(μνημα) ὅπως ἐπι
σταλ(ῇ) ἐπὶ τὴν ἀγορ(-ανομίαν) ἀγ[ή]ματ(ος)
τελιῶσαι (l.-λει-) τὸν χρη̄(ματισμὸν) ὡ[ς κ]αθ(ήκει)

L (l. ἔτους) γ̄ Αὐτοκράτορος Καίσαρος *a. 222*
Μάρκου Αὐρηλίου Σεουήρου
Ἀλεξάνδρου Εὐσεβοῦς
Εὐτυχοῦς Σεβαστοῦ τυβι κ̄

(26) 46 Αὐρή^λ(ιος) Ὀρσεὺς ὡς L(ἐτῶν) κε̄ οὐ^λ(ῇ) μη^λ(ῷ) ἀρ(ιστερῷ) καὶ ἀντι^κ(νημίῳ) δεξ(ιῷ)

47 (manus 2ª) Αὐρηλ . . [. .] . . . . ϑ ὡς καθή^κ(ει)

48 (manus 3ª) Αὐρήλιος Ἡράκλειος ὁ καὶ Λιβε[ρ]άλις ἐξηγη^τ(εύσας)

49 βου^λ(ευτὴς) βιβ^λ(ιοφύλαξ) [ἐ]πιτ[ηρητὰς ἀγο]ρ(ανομίας) [ἀγη̄(ματος)] κατα

50 ταμε.[κλη]ρονο̄(μ...)

In margine:

51 (manus 4ª Ἡράκλειος ὁ καὶ


52 Λιβεράλις ἐξηγη

53 τεύσας βουλευ

54 τὴς βιβλιοφύλαξ


55 σεσημείωμαι

56 τυβι α̅




27 *Expositionis Nr. 241 Papyrus 10 : 4^cm*
Ex 1884. saeculi II–III p. Chr. n.

1 κυμινου εξον[
2 ὀξιβραχεντος
3 πιπερεως
4 ξινγιπερεως[ς
5 πηγανου χλωρ[ου
6 νηρου θερνικα
7 μελιτος ἀπη[
8 λιώσας (λ λει-) καλεβ̣ς
9 (manus 2ª) \αψινθ[
10 τριτα[
11 μαστιχη
12 κοστου
13 [ ]λλου



28 *Expositionis Nr. 242 Papyrus 12,7 : 16^cm v. Corpus Papyrorum Raineri I, 7 p. 26*
Heracleopolites a. 227 p. Chr.



(28) Ἔτους ἕκτου Αὐτοκ[ρ]άτορος Καίσαρος Μ[άρκου] Αὐρηλίου
Σεουήρο[υ] Ἀλεξάνδρου Εὐσεβοῦς Εὐτυχοῦ[ς Σεβαστοῦ
ἐφ' ἱερέων τῶ[ν] ὄντων ἐν Ἀλεξανδρείᾳ καὶ τῶ[ν ἄλλων] τῶν
γραφομένων κοινῶν μηνὸς ξανδικοῦ μεχ]ειρ [εἰ]κάδι ἐπι (l. δι' ἐπι-) .
τηρητῶν ἀγορανομίας μερῶν μέσης Πεε[ν]αμεως
τοῦ ὑπὲρ [Μ]έμφιν Ἡρακλεοπολείτου ὁμολ[ογεῖ] Αὐρηλία
Θάησι[ς Ἀ]τρῆτος μητρὸς Αυσχειος ἀπὸ κ[ώμης] Πεεν
πιβυκ[εως ὡς] ἐτῶν τριάκοντα δύο μελί[χρους] μετὰ κυρίου
τοῦ ἑαυ[τῆς ἀνδ]ρὸς Αὐρηλίου Ὥρου Ἀμμ[ωνίου μ]ητρὸς
Ταπ[. . . . . .]ς ἀπὸ τῆς αὐτῆς ὡς ἐτῶν π[εν]τήκον
[τα . . . .]ηνι τοῦ καὶ ὑ[πὲρ] αὐτῆς γρ[άφο]ντος
[γράμματα] μὴ εἰδυίης παρ[ακε]χωρηκέναι Αὐρηλίᾳ
[. . . . . Ἡρα]κ[λ]έ[ου]ς μητρ[ὸς . . .]ειτος[. . .]ηστου
[μετὰ κυρίου]υ . . . [

29. *Expositionis Nr. 243 Papyrus a me ex quattuor fragmentis restitutus 24:21 cm*
Heracleopolites a. 226 p. Ch. n.

Ἔτους ἑβδόμου Αὐτοκράτ[ορος Καίσαρος Μάρκου
Αὐρηλίου Σεουήρου Ἀλεξάνδ[ρου Εὐ]σ[ε]βοῦς Εὐτυχοῦς
Σεβαστοῦ ἐφ' ἱερέων τῶν ὄντων [ἐ]ν [Ἀλεξανδρείᾳ
καὶ τῶν ἄλλων τῶν γραφομένων κοινῶν [μηνὸς
Ἀδριανοῦ χ[οι]ακ δεκάτῃ δι' ἐπιτηρ[η]τῶν[ἀγορανομί
ας περὶ Τεκμει τοῦ ὑπὲρ Μέμφιν Ἡρακ[λε]ο[π]ο[λίτου
Ὁμολογεῖ Αὐρήλιος Ψεναμουνις Διο[γέ]νους[μητρὸς
Ταμμειτος ἀπὸ κώμης Τοσαχμεως ὡς ἐτ[ῶν . . . .
κοντα ἓξ οὐλὴ ἀντικνημίῳ δεξιῷ ἐκκεχ[ωρηκέναι
ἀπὸ τοῦ νῦν ἐπὶ τὸν ἀεὶ χρόνον τῇ ἑαυτοῦ[γυναικὶ
Αὐρηλίᾳ Ταωτι Ὀνν[ώ]φριος μητρὸς Τασκ[λαταρίου
ἀπὸ κώμης Ταναμ[.] ὡς ἐτῶν τριάκοντα τ[ριῶν λευ
κοχρόῳ χωρὶς κυρίου χρηματιζούσῃ κατὰ τὰ [Ῥωμαίων
ἔθη τέκνων δικαίῳ ἀντὶ μέρους ἧς κατέχρησ[ε φερ
νῆς αὐτῆς ἐν δραχμαῖς τρισχειλίαις πεντ[ακοσίαις
ἀπὸ τῶν ὑπαρχόντων αὐτ[ῷ] πρότερον τοῦ ὁ[μοπατρίου
αὐτοῦ ἀδελφοῦ Διοστε.[. . . πε]ρὶ κώμην Τοσα[χμιν ἐκ
τοῦ Ἀπολλωνίου κλήρου ἀπὸ ἀρο[υρ]ῶν τεσσ[άρων ἀρού

(29)

ρας τρεῖς ἥμισυ γίτονες (l. γεί-) καθὼς αὐτοὶ ὑπη[γόρευσαν
νότου Νεπωτιανοῦ βορρᾶ ὁδὸς ἀπηλιώτ[ου Θεοδώ
ρου λιβὸς ὅριον κλήρου καὶ περὶ Πεεντε.[ἐκ τοῦ . . .
ρέους κλήρου κατο[ίκ]ων ἀρούρας τρεῖς νότου κλη[ρο
νόμων Μάρωνος βορρᾶ κληρονόμων Διδυμιανο[ῦ
ἀπηλιώτου λιβὸς Ἡλιοδώρου καὶ τοῦ ἀδελφοῦ
καὶ περὶ τὴν αὐτὴν Τόσαχμιν ἐκ τοῦ Διονυσίου κλ[ή
ρου ἀρούρας δύο ἥμισυ ὁμοίως γίτονες νότ[ου] Ἡσιο...[

καὶ περὶ τὴν αὐτὴν ἐκ τοῦ Ὑπερβάστου [κλή]ρου ἄρ[ου
ραν μίαν ὁμοίως νότου
πρὸς τὸ ἀπὸ τοῦ νῦν [κρα]
τεῖν καὶ κυριεύειν καὶ δεσπόζειν καὶ ἐξ[ουσίαν ἔχειν
τοῦ πᾶσαν οἰκονομί[αν] κατ' αὐτῶν ἐπιτελ[εῖν ἀνεμ
ποδίστως μὴ προσδεομένης τῆς τοῦ Ψεν[αμούνιος
παρουσίας ἐκ συνευδο[κή]σεω[ς] ἀρκουμ[ένου τῇδε
τῇ ἐκχωρήσει ἣν καὶ βεβα[ι]οῖ πάσῃ βεβαιώ[σει
πάντα τὸν ἐπελευσόμ[εν]ον ἢ ἐμποιησό[μενον
αὐτὸν ἀποστήσειν παραχρῆμα τοῖς [ἰδ]ίοις
ἀναλώμασι μένοντος δ[ὲ τοῦ λόγ]ου α[ὐτῇ] π[ρὸς τὸν
ἄνδρα αὐτῆς Ψεναμουν[ιν περὶ τ]ῶν .[*c. 13 litterae*
φερνῆς ἀκολούθω[ς *c. 20 litterae* περὶ]
δὲ τοῦ ταῦτα ὀρθῶς καὶ [καλῶς γεγενῆσθαι ἐπερωτη]
θέντες ὡμολόγησαν(.)

29v. *ab alia manu*

1 παρὰ Αὐρηλίου Πτολεμαίου τοῦ κ(αὶ) Σωτηρίχο[υ

2 καὶ ὡς χρη(ματίζει) ἀπογρ(άφομαι) πρὸς τὸ [ἐν]εσ(τὸς) ια (ἔτος) Μάρκ[ου Αὐρηλίου Σε]
ουήρο[υ Ἀλεξάνδρου Καίσαρος]

3 τοῦ κυρίου ὃ ἐωνη(σάμην) κατὰ δη(μόσιον) χρη(ματισμὸν) τετελ(ειωμένον) τῷ [π]ρο
διελ(ηλυθότι) ἔτ[ει] κοι[. . . . κατὰ . . . . .

4 τομάρ(ιον) οὗ ἀντίγρ(αφον) ὑπόκειται τῇδε τῇ ἀπο[γρ(αφῇ)] . . . .

5 ω καὶ καθυπογρ() παρὰ Ἀκάθης Γλυσχ..ανι[..]μη(τρὸς) Θαή[σιο(ς)] ἀφ'
Ἡ[ρακλεους πόλεως ἀναγρ(αφομένης) ἐπὶ τῆς . . . .

6 Ὡρῶν β ἀμφοδ(αρχία) μετὰ κυρίου τοῦ ἀδ[ελ](φοῦ) αὐτῆς κατὰ π[ατέρα . . . .

7 Μώρου Ἁρπάλου μη(τρὸς) Διοσκοροῦτος ἀ[πὸ] τῆς ζ (l. αὐτῆς) πόλ(εως) ἀμφ[ο]δ
. . . . .]σια.ην.ν[. . .

8 εἰς αὐτὴν ἀπὸ ὀνό(ματος) τοῦ ὁμογ(νησίου) αὐτῆς ἀδελ(φοῦ) Σωτηρίχου τετελ(ευ
τηκότος) ἀ[τέκνως καὶ ἀδιαθέτως]

(29v.) 9 ἐπί τε αὐτῇ καὶ Σαραπάμμωνι ὁμογ(νησίῳ) ἀδελ(φῷ) μόνο[ις κλ(ηρονόμοις)] ἀνηκο[

10 λογιστηρίου ἀπὸ dη̄(i.e. 1/4+1/8) μέρους ọị̣κị(ας) καὶ τῶν συ̣ν̣κ(υρούντων) αὐτ(ῇ) κα̣θ̣'
'Ηρακ[ ]. . . . . . . [κατὰ]


11 τὸ ἐπιβ(άλλον) αὐτῇ ς(i.e. 1/2) μέρο(ς) τῆς ὅλης οἰκίας μετὰ λάκκων αὐλῶν
παν[. .]. . . . . . . [

12 Παναιτος γεγυμ(νασιαρχηκότος) τοῦ καθ' Ἡρακλεουσπό(λιν) ὅρμου ὢ̣ν̣ ἐκ
μεν[. . . .]π. . . ω[


13 τοῦ προκει(μένου) Σωτηρίχου καὶ διέταξεν διὰ διαθήκ(ης) Ῥωμαικῆς
λυθ(είσης). . . μονικα̣[

14 τῇ μὲν Πειμουταυσι κατὰ τὸ d(i.e. 1/4) μέρος καὶ τῷ Σωτη[ρί]χ(ῳ) τῷ καὶ
Σαρα[πάμ]μωνι κα[τὰ τὸ

15 λοιπὸν Ϛd'(i.e. 3/4) μέρος(·)



29r 1. 2.




29v 14. 15.

30 *Expositionis Nr. 244 Papyrus* $16_5 : 9_5$ *cm instrumenti alterius fragmenta adiacent.*
Arsinoites. a. 230 p. Chr. n.


	I	II.
1	Ἔτους ἐνάτου Αὐτοκράτορος	Ἔτους
2	Καίσαρος Μάρκου Αὐρηλίου	
3	Σεουήρου Ἀλεξάνδρου Εὐσεβοῦς	νο[
4	Εὐτυχοῦς] Σεβαστοῦ μηνὸς Καισαρίου μεσορη–	αγ̣[
5	ἐν Πτ]ολεμαΐδι Εὐεργέτιδι τοῦ Ἀρσ̣ι̣ν̣ο̣ί̣[τ]ο̣υ̣	ξ̣[
6	ὁ]μολογεῖ Αὐρήλιος Ἑρμῖνος [Ἑ]ρμί	ϑ.[
7	νου τοῦ Ἀ]φ̣ροδισίου ἀπὸ ἀμφόδου Λυσανί[ο]υ	τ[
8	Τόπων ὡ]ς ἐτῶν εἴκοσι ἓξ οὐλὴ ὀφρύϊ ἀριστερᾷ	σ.[
9	Αὐρηλίῳ] Ἑρμῇ Ζωΐλου τοῦ Ἀννᾶτος ἀπὸ κώμης	λ.[
10	]ου διὰ Αὐρηλίου Ἀματίου τοῦ καὶ Εὐδαί	ου̣[
11	μονος]αρχου ἀγορανόμου βουλ(ευτοῦ) τῆς Ἀρσι(νοιτῶν) πόλεως	απ[
12	ἔχειν τὸ]ν ὁμολ(ογοῦντα) Ἑρμεῖνον παρὰ τοῦ Αὐρηλίο̣υ̣	Αὐρ[ηλ
13	Ἑρμοῦ]διὰ χειρὸς ἀργυρίου δραχμὰς ἑκατὸν [κα]ὶ	αυ.[
14	κοντ]α οὔσας ἴσας ὧν ὤφειλεν ὁ τετελευτη	τω[
15	κὼς τοῦ Ἑ̣ρμῆ(l. -οῦ) πατὴρ Ζωΐλᾶς τῷ Ἑρμίνῳ κ[ατὰ]	το[

31 *Expositionis Nr. 245 Papyrus eiusdem formae atque 30.ᵃ Mutilus in fine. Arsinoites a. 230 p. Chr. n. Instrumenti alterius fragmenta antecedunt.*


I.	II.
Σ]εβαστοῦ μη	Ἔτους ἐνάτου Αὐτοκράτορος Καί[σαρος Μάρκου Αὐρηλίου Σεουήρου
]λιοι Κορ[.]	Ἀλεξάνδρου Εὐσεβοῦς Εὐ[τυχοῦς Σεβαστοῦ μηνὸς Καισαρίου]
]πολεως ἀπ[ο]	μεσορη κ̄ ἐν Πτολεμαΐδι Εὐεργέτιδι τ[οῦ Ἀρσινοΐτου ὁμολογεῖ
]του Σαρα	Αὐρήλιος Μᾶρκος Δημητρίου τοῦ Ισ[ἀπογρα
]Θαϊσαριω	φόμενος ἐπ' ἀμφόδου Διονυσίου Τόπω[ν ὡς ἐτῶν
].ανδρος	Αὐρηλίᾳ Ἡραΐδι Ποτάμωνος μητρὸς[ἀπογρα(φομένῃ) ἐπ' ἀμφόδου Ταμεί]
]καὶ Σαραπιω	ων ὡς L κ̄ξ οὐλὴ μέσον δάκτυλο[ν χειρὸς μετὰ κυρίου
]αγουσας	Αὐρηλίου Θεογείτονος ἐπικαλουμένου[ἀπογραφομένου ἐπ' ἀμφό]
]η περι τον	δου Βιθυνῶν Ἄλλων Τόπων ὡς L (l. ἐτῶν)[οὐλὴ ἀμφο]
]πους των	τέροις ἔχειν παρ' αὐτῆς τὸν ὁμολογ[οῦντα ἐπὶ τῇ θυγατρὶ]
]της και	τῇ συνερχομένῃ αὐτῷ πρὸς γάμο[ν φερνὴν χρυσοῦ]
]ευτος	δοκιμίου μναϊαῖ[ο]ν ἓν τετάρτας πέ[ντε ἅ ἔστιν
ἀρ]ιστερων	τεταρτῶν ὀκτὼ ἁλυσίδιον τεταρτ[ῶν
	δύο δακτυλίδιον τετάρτης μιᾶς εν[τεταρ]
	τῶν δηο (l. δύο) καὶ ἱμάτια ἐν συντειμησι (l. -τιμήσει) ἀρ[γυρίου (δραχμῶν)...
	ἑξήκοντα ἅπερ ἔστ]ιν δαλματικὴ σ[
	κοινοπορφυρ[οῦ]ν σουβρικοπάλλιον λ[.. καὶ ἐν πα]
	ραφέρνοις χιτὼν λ[..]νοτινος μαφ[όριον
	σημιωτὸς σουδάριον [ἐπικ]άρσιον κ[αὶ χαλκᾶ Ἀφροδί]
	την μα[γειρεῖον ἔσοπτρον δίπτ]υχον[



31



30.



32.

32 *Expositionis Nr. 246 Papyrus 30 : 9_7 cm ex tribus fragmentis a me restauratus Heracleopolites a. 231 p. Chr. n. cf. Oxyrhynchus Papyri X 1259 sq.*

Αὐρηλίῳ Οὐρίωνι τῷ καὶ Ξενοφῶντι βασ[ιλικῷ γραμματεῖ
Ἡρακλεοπολείτο(υ) διαδεχομένῳ καὶ τ[ὴν στρατηγίαν


Αὐρήλιος Βησαρίων Ἑρμείου καὶ οἱ̣ σ̣ὺ̣[ν αὐτῷ ναύκληροι
χειρισμοῦ Νέας Πόλεως πλοίων π[έντε ἀγωγῆς (πυροῦ) ἀρ
ταβῶν μυριάδων δύο τρ[ισ]χε[ι]λ[ίων παρεδεξά
μην παρὰ Αὐρηλίων Ἡρακλεί[δου καὶ
Ἡρακλήου̣ τοῦ καὶ Ψενταρειτιος[σιτολόγων κώμης
Τοιωνκωϊ τοῦ Ἄνω Φιλονείκου ε.[
Αὐρηλίου Σαρ̣απίωνος τοῦ καὶ Ηλ[
ἐπισφραγιστοῦ τῆς αὐτῆς τὰς ἐπι[σταλείσας ἡμῖν
ὑπὸ σοῦ̣ διαδεχομένου καὶ τὴν στρ[ατηγίαν ἀπὸ
γενήματος τοῦ διεληλυθωτος (l. -θό-) ι̣[(ἔτους) Μάρκου
Αὐρηλίου Σ̣ε̣ο̣υήρου Ἀλεξάνδρου Κα̣[ίσαρος τοῦ κυρίου
ἐκ θησαυρῶν τῆς αὐτῆς Φιλονείκ[ου πυροῦ
ἀδόλου ἀβώλου ἀκρίθου ἀδι̣[απατήτου κεκοσ
κ̣ι̣ν̣ευμένου μέτρῳ δημοσίῳ [μετρήσει τῇ κελευ
σθείσῃ σὺν ἱμιαρταβίῳ (l. ἡ-) καὶ ἑ[κατοστῇ
ἀρτάβας δισχειλίας πεντακο[σίας ὀγδοήκοντα ἃς καὶ κατάξω
εἰς Ἀλεξάνδρειαν εἰς το[ὺς θησαυροὺς τῆς Νέας Πόλεως
καὶ παραδώσω τοῖς π[ρὸς τῷ χειρισμῷ ὑγιῶς
καὶ πιστῶς ἄνευ πά[σης ναυτικῆς κακουργίας
πληρης [
L ια Αὐτοκράτορο[ς Καίσαρος Μάρκου Αὐρηλίου
Σεουήρου Ἀλεξ[άνδρου Εὐσεβοῦς Εὐτυχοῦς
Σεβαστοῦ [

(manus 2ª) *Αὐρήλιος Βησαρίων Ἑρμ̣[είου καὶ οἱ σὺν ἐμοὶ ναύκληροι χει
ρισμοῦ Νέας Πόλε[ως
σὺν ἡμιαρταβίῳ καὶ ἑ̣[κατοστῇ ἀρτάβας δισχει
λείας (l. -λί-) πεντακοσίας [ὀγδοήκοντα
⁓ (l. γίνεται ἀρτάβας) Β Φ Π [. . .] καὶ*

33. *Expositionis Nr. 247 Papyrus 21 : 10 cm cf. Wilcken Chrestomath. 72 p. 101.*
Heracleopolites a. 234 p. Chr. n.

Α[ὐρ]ηλίῳ Ἀπολλωνίῳ βασι[λ]ικῷ
γραμμ[ατεῖ Ἡρακλεο]πολίτου
παρὰ Αὐρηλ(ίου) Ἀτρῆτος Πανητος
καὶ Δ πρεσβ(υτέρων) διαδ[ε]χ(μένων) τὴν κωμογ(ραμματείαν)
τῶν περὶ Τερτεγχα[νος] τόπων
δηλοῦμεν μηδὲν [δε]ῖν ἀνῆ
κον σημᾶναί π[οτε τῇ] τοῦ [ἰ]δί[ου
λόγου καὶ ἀρχ[ιερέως ἐ]πιτρό(-πῃ) τοῦ
ὄντος μηνὸς τοῦ [ἐνεσ]τῶτος [ι]γ (l. ιγ' ἔτους)
μηδένα δ[ὲ τ]ῶν ἱ[ερ]έων ἢ ἱερω
μένων ἐ[ν]καταλελοι[π]έναι
τὰς θρησκεία[ς


(—) ιγ (l. ἔτους ιγ') Αὐτοκ[ράτορ]ος Καίσαρος
Μάρκου Αὐρηλίου Σεουήρ[ου Ἀλεξάνδρου
Εὐσεβοῦς Εὐτυ[χοῦς] Σε[βαστοῦ
[ἐπ]ειφ [λ] man. 2a [Αὐρή]λ(ιος) Ἀτρ[ῆς Πανητος
[καὶ] δ πρεσ[β(ύτεροι) διαδεχό(μενοι) τὴν κωμογρ( )]
[τῶ]ν περὶ Τερτενχων[ος τόπων
[δι]ʼ ἐμοῦ Αὐρηλ(ίου) Ἡρακλείονο[ς



33.


34 *Expositionis Nr. 248 Papyrus 15 : 6,8 cm in fine mutilus. Heracleopolites a. 232/3 p. Chr. n.*
cf. Papyrum Florentin. ed. Vitelli I 21 a. 239. Pp. Hamburg. I 19 a. 225 Pp. Oxyrhynch. 7. 1031 a. 228

Αὐρηλίῳ Ἀχιλλεῖ στρ(-α)τηγῷ
Ἡρακλεοπολείτου
παρὰ Αὐρηλί[ου] Πτολλᾶτος
Νεμεσίων[ος] μη(τρὸς) Ἐργεως
ἀπὸ κώμ[ης] Τεβετνυ(·) αἰτοῦ
μαι ἐπι[στ]αλῆναι σπέρμα
τα δάν[εια ε]ἰς τὴν ἐπ' ἀγα
θοῖς γινο[μέν]ην κατασπο
ρὰν τοῦ ἐνεστῶτος ιβ L (l. ἔτους)
Μάρκου Αὐρηλίου Σεουήρου
Ἀλεξάνδρου Καίσαρος τοῦ
κυρίου ἀ[πὸ] γεννήματος
τοῦ διε(ληλυθότος) ια (ἔτους) εἰς ἣν γεωργ(ῶ)
βασιλ(ικὴν) γῆν οὐκ ἔλαττον
βο (l. ἀρταβῶν) τελοῦσαν περὶ τὴν αὐ
τὴν Τεβετνυ ἐκ τοῦ Νικίου
καὶ Πτολεμαίου καὶ ἄλ(λων) κλ(ήρου)
ζ N ζ o N (l. ἀρουρῶν ν' ἀρτάβας ν') ἃς καὶ καταθήσω
εἰς τὴν [γ]ῆν ὑγιῶς [καὶ]
πιστῶ[ς] ἐπακολουθούν
των τῶν [τ]ε κατασπορέων
καὶ ὧν [ἄ]λλων προσήκει




35 *Expositionis N° 249 ex 7 fragmentis a me restauratus. Papyrus 13,2 : 16,5 cm mutilus in fine et a dextra. Heracleopolites a. 235 p. Chr. n.*

Ἔτους τεσσαρεσκαιδεκάτου Αὐτοκράτ[ο]ρος Καίσαρος Μάρκου Αὐρηλίου Σεουήρου Ἀλεξάνδρου Εὐσεβοῦς
Εὐτυχοῦς Σεβαστοῦ Δαισίου φαρμουθι δεκάτ[η] δι' ἐπιτηρητῶν ἀγορανομίας τοῦ ὑπὲρ Μέμφιν]
Ἡρακλεοπολείτου(·) τάδε διέθετο νοῶν καὶ φ[ρονῶν
μητρὸς Ταστωουτος ἀφ' Ἡρακλέους πόλε[ως ἀμφοδαρ]
χίᾳ ὡς ἐτῶν ἑξήκοντα τεσσάρων οὐ]λὴ [εἴη μέν μοι ὑγιαίνοντι καὶ ζῶντι κύριον εἶναι]
τῶν ἐμαυτοῦ πάντων καὶ διοικεῖν καὶ ἐσ[ο]δεύεσθαι πωλοῦντα ὑποτιθέμενον μεταδιατιθέμενον
ἐὰν δὲ ὃ μὴ εἴοιτο ἀνθρώπινόν τι πάθω [βούλομαι
ἐκ παιδόθεν ὡ[μο]γνήσιον(l. ὁ-) υἱὸν Αὐρηλί[ου ἀπὸ τῆς]
αὐτῆς πόλεως ε[ὐ]νοίας καὶ φιλοστοργί[ας ἕνεκα κληρονόμον εἶναι τῶν ἐμῶν]
παντοίων παντὸς εἴδους καθ' ὃν δήπ[οτε τρόπον ἐμοὶ ὑπαρχόντων κατ' ἐξουσίαν]
πᾶ[σαν] ἄλλῳ δ[ὲ οὐ]δενὶ [οὐδ]ὲν κα[ταλείπω
ὁ [δὲ προ]κείμε[νος μου κλη]ρονόμος [
Ἑλληνικοῖς ἀκο[λού]θως τῇ θείᾳ ν[ομοθεσίᾳ τοῦ κυρίου ἡμῶν Αὐτοκράτορος Καίσαρος Μάρκου Αὐρηλίου]
Σεουήρου Ἀλεξάνδρ[ο]υ Εὐσεβοῦς Εὐ[τ]υχ[οῦς Σεβαστοῦ ἐφ' ὑπογραφῇ μαρτύρων ἐξ ὧν τὰ ὀνόματα
καὶ οἱ εἰκονισμοὶ ἑξῆς δηλοῦνται ἰδίοι[ς αὐτῶν γράμμασι καὶ ἐπερωτη]
θεὶς ὡμολόγησα ἡ διαθήκη κυρία (*manus 2a:*) Αὐρή[λιος μαρτυρῶ τῇδε τῇ διαθή]
[κῃ] ὡς πρόκιται (*l.* -κει-) (*man. 3a*) Α[ὐρ]ήλιο[ς] Ἡράκλιος Ἰσιδώρου
[μαρτυρῶ τῇδε] τῇ [δ]ια[θήκ]ῃ ἀσ[φ]αλ[ε]ίᾳ
(*man. 4a.*) Α[ὐρήλιος]μαρτυρῶ [τῇδε τῇ διαθήκῃ
[*c. 23 litt.* *manus 5a*]ηνας μ[αρτυρῶ
[*c. 23 litt.* *manus 6a*]ιουιου Φιλ[
[*c. 23 litt.* *manus 7a*].υ..[



35. 1-3




36.

36 *Expositionis Nr. 250 Papyrus 10:10 cm fuerat magni uoluminis pagina 91. 92. Heracleopolites ut uidetur. A. 237. v. Mittheilungen aus der Sammlung Papyr. Erzh. Rainer V. 12. Levison Beurkundung des Zivilstandes im Altertum p. 77. 5.*

1	ϙα]	ϙβ
2	]ς απο	[πα]ρὰ Αὐρη(λίου) . ειριος Κολλούθου ἀπὸ
3	]νελε	[κ]ώμης Μουχεννωμθου(·) ἐπεὶ
4	κ]ωμης	[ὁ] συγγενής μου Πουνσητ[. . .]λος
5	ἐνεστῶτ]ι ΓL(ἔτει) ἀνα	[ἐτελε]ύτησεν τῷ ἐν[εστῶ]τι [ΓL(ἔτει) ἀναγρα
6	]. αφε	[φό]μενος ἐπὶ τῆς προκειμένης
7	ὄνομ]α διὰ	[κ]ώμης Μουχεννωμθου [ἀξιῶ
8	ι.]αθή[[κει	[π]εριαιρεθῆναι καὶ τοῦτο [τὸ ὄνομα
9	]	[δ]ιὰ τῶν παρὰ σοὶ δημοσίω[ν γραμματέ
10	]. ι.	ων ὡς καθήκει κα[ὶ
11		ὡμολόγη[σα] L γ΄ [Αὐτοκράτορος
12	]ου	Καίσαρος Γαί[ου] Ἰο[υλίου Οὐήρου
13	]	[Μαξ]ιμείνου [Εὐ]σε[βοῦς Εὐτυχ]οῦς
14	Μ]εγί[στου]	[Σ]εβαστοῦ Γερμανικ[οῦ] Μεγίστο[υ] Δ[ακ(ικοῦ)
15		Μεγίστου [Σ]αρματ[ικοῦ] Με[γ]ίστου
16		[κ]αὶ Γαίου Ἰουλίου Οὐήρο[υ Μαξί]μ[ου
17		Γερμανικοῦ Μεγίστου Δ[ακικοῦ
18		Μ[εγίστ]ου [Σα]ρματικοῦ Μεγ[ίστου
19		[τοῦ ἱερωτάτου Καί]σαρος Σεβ[αστοῦ υἱοῦ
20		[τοῦ Σεβαστοῦ

36v *ab alia manu*

1	]ο ϛς΄	[ ]η.
2	] ιι	?κφμη
3	] –	. . . . . . Σοσικοσμι[ος
4	ϛ]ς΄	]. ιμμουτ. [
5		]λ[ ]ν[
6	]ς	
7	]ϛςϛογ	]η[



37, 1-4.

37 *Expositionis Nr. 251 Papyrus 10_5 : 11 cm fuerat magni uoluminis pagina 52. Heracleopolites ut uidetur. a. 237 p. Ch. n.*

1 *(ab alia manu)* νβ

2 Αὐρηλίωι Ἀ[πο]λλωνί[ω]ι βασιλικῶι γρα(μματεῖ) [Ἡρακ(λεοπολίτου)

3 παρὰ κληρο(νόμων) Ταποῖτος Χεμσνεως [διὰ


4 Αυρηλίου Κορνηλίου κτηνοτρόφου ε. . . .

5 ἀπεγραψάμην τ[ῶ]ι διεληλυθότι Γϛ(ἔτει) πρ[ό]βατα


(37) 6 τέλεια ἀριθμῶι οξ̅ αἶγας τελείας [ἀριθμῶι
7 ῑ ᾱ καὶ νῦ[ν ἀπ]ογράφομαι πρὸς τὸ̣ [ἐνεστὸς
8 δϛ (L ἔτος) πρό[β]α[τα τέ]λεια ἀριθμῶι οξ̅ [αἶγας
9 τελείας ἀρι[θμ]ῶι ῑ νεμόμενα κα̣ὶ̣ ἀ∠
10 ριθμησόμ[εν]α περὶ τοπαρχία[ν . . . .]ιων
11 διὰ νομέως Αὐρηλίου Ἱέρακος
12 ζ Δ(L ἔτους δ´) Αὐτοκράτορος Καίσαρος Γαίου [Ἰουλίου Οὐήρου
13 Μαξιμείνου Εὐσεβοῦς Εὐτυχοῦς Σεβ[αστοῦ
14 Γερμαν̣ι̣κοῦ Μεγίστου Δακικοῦ Μεγίστου Σ[αρματικοῦ
15 Μεγίστου καὶ Γαίου Ἰουλίου Οὐήρου Μαξ[ίμου
16 Γερμανικοῦ Μεγίστου Δακικοῦ Μ[εγίστου
17 Σαρμα[τικ]οῦ Με[γί]στου τοῦ ἱερωτάτου Καί[σαρος
18 Σεβα[στ]οῦ υἱοῦ τοῦ Σεβαστο̣ῦ μεχειρ δ̅ (manus 2ª) κληρο(νόμοι)
19 *Ταποιτος Χεμσν[εως δ]ι[ὰ Αὐρηλίου*
20 *[Κ̣ο̣ρ̣ν̣ηλις κτη[νοτρόφου*

38 *Expositionis N. 252 Papyrus 13₅ : 9 cm Arsinoites utuidetur. saeculi II p. Chr. n. mutilus in initio.*

1 ⸍Γ Φηρεως Ἀρείου ζ ια[
2 ⸍τῶν ἐκ τοῦ οἴκου ζ Lι[β´
3]ϯ γγη̅ πε° ϯ L[
4 ⸍Ἑλένης Κάστορος ζ ιϛ[
5]ϯ L πε° ϯ [
6 ⸍τῶν ἐκ τοῦ οἴκου ζ ιϛ̅λ̅β̅[
7 πε° ϯ η
8 ⸍Ἰσχυρίω̣ν̣° Πρείσκου [
9 πε° ϯ ιβ=][
10 ⸍Πνεβτυνεως Παπεϊτο[ς
11 διχ() ϯ κδ=]Lιβ̅
12 ⸍Ἐπιμάχου Ποσειδωνίου [
13 π[ε]° ϯ η][
14 [⸍]ν[ ]τ̣ι[ ]δος Σωτηειχ[
15 πε° ϯ ιβ=][



38,1-5



39.3,1-3

39 *Expositionis N. 253 Papyrus 14₃ : 33₅ cm mutilus in fine et a sinistra Arsinoites. saeculi II-III p. Chr.*

39ʳ *Col. I*

1]διου Ν[. . .]υ ὁμοίως(·) 3]ναιος Εὐτύχης 5]ων μη(τρὸς) Σωτηρίδος
2]ων δοῦλ(ος) Ταπιαμεως 4]·αρεινος δοῦλ(ος) Λάμπων 6]ς Πτολεμαίου

(39) Ιγ Πεκ]υσις Μύσθου
8]ρας ἀπάτωρ μη(τρὸς) Στοτοητ()
9]ων ἀπάτωρ [μη(τρὸς)] Ταπασειτος
10]ους Ψενηου
11]βιεινος Πασχπασχιουτος
12]μη(τρὸς) Σωτηρίδος
13]μη(τρὸς) Σωτηρίδος
14]υ Παβουτος Παλη
15]τος

II. Col. 1 Ἰοῦστος [Σαταβ]βουτος (ος εχας)
2 Σωτᾶς ἀδελφός
3 Παβους Πεκυσ[ι]ς
4 Τεμας γέρδις
5 Παειηους ἀδελφός
6 Σύρος Παουειτητος
7 Διονύσιος Διονυσίου
8 Πε[.]ας Παουιτητος
9 Ορσενουφις Παβου
10 [....]πε.ω γέρ[δι]ος
11 Απυ[γχις Ὡρί]ωνος

III. Col. 1 Πετεσοῦχος Σωτου γέρδι[ο]ς
2 Ἀνουφις γέρδις
3 Τεμας Ἁρπάλου ἐργ(άτης)
4 Σαταβους Τηους
5 Καλαβελις μη(τρὸς) Σωτηρίδος
6 Πάησις Σωτου
7 Πεκυσις μη(τρὸς) Τατσιμουκ( )
8 Παμμιτος Σώτου
9 Εκυσις Ελκουιτος
10 Εριευς Κιαλειτος
11 Τούρβων Εριευτος
12 Ορσενουφις ἀδελφός
13 Πωλίων ἄλλος
14 Ἡρακ( ) Μουεις Ὡρίωνος
15 Πασεις Σαταβουτος
16 Παβου[ς] Σαταβουτο[ς
17 Στοτοητις λάξ[ος
18 Ὡρ[.. μη(τρὸς) Θαι[σαρίου

In 39^v^ euanidae scripturae columnae tres nominum cum artabarum numeris; incipit

κγ σιτο(λόγων) Μαγαΐδος


40 *Expositionis Nr. 254 Papyrus 26 : 31,5 cm mutilus*

Arsinoites ut uidetur, ex a. 1884 ... saeculi II. p. Chr. n.

I. Col. 1](ἐτῶν) λε (δραχμαὶ) ξ
2](ἐτῶν) λγ (δραχμαὶ) κ
3](ἐτων) νη
4](ἐτῶν) ιξ

II. Col.
1]μονος Ἀλθαιεύς (ἐτῶν) μ
2]Ἀσκληπιάδου Ἑρμίνου (ἐτῶν) λθ [
3]μ[η]ς (ἐτῶν) ιε [
4 Νικ[....]καν.[.]ερ' Φίρμου Ἀρείου (ἐτῶν) λ[
5 Ἑρ[μῖ]νος [...]νιου Χαιρήμονος (ἐτῶν) ξδ (δραχμαὶ) κ
6 Ἰ..[..]ς Χινυχιος Ἰβοΐτος νυκτοστ[ράτηγ]ος Δημητρ() (ἐτῶν) λδ [
7 Μέλας Ἰμούθου [..]λιου (ἐτῶν) ν (δραχμαὶ) κ
(a manu 2?) 8 *Σιλβανὸς Σινύριος Νεμεσατοθηους Ἑρμίνου τοῦ κ(αὶ) Πτολεμαίου (ἐτῶν) λδ[*
9]Κοπρέας ὁ καὶ Ἀχιλλέως Ἀγάθ[ου] (ἐτῶν) κθ
10 ΙΔ (ἔτους)
11 Σιλβανὸς Σαραπίωνος Κορνηλίου (ἐτῶν) κξ (δραχμαὶ) κ
12 Χινυχις Φιβίωνος Χινυχιος (ἐτῶν) ιξ (δραχμαὶ) κ
13 Σιλβανὸς Ἑρμαίου Τυράννου (ἐτῶν) λθ'
14 Ἑρμῖν[ος] Ἑρμίνου Σιλβανοῦ Ἀμμωνίου (ἐτῶν) κ
15 Πασίω[ν Τ]υράννου Πτολεμαίου (ἐτῶν) ιϛ
man. 2a 16 *Δακ[ὸς ἀπ]ελεύθ(ερος) Κουνσωνίας Ἰουλιά[ν]ης (ἐτῶν) μ*

15.
16.



(40) III. *columna*

1]ες·[
2]αλος[
3]Νεῖλος[
4 ιϛ L (*l.* ἔτους)
5 Ἀμμώνιος Ἰν.[
6 [ ]ας
7 ⸍ Θ[. .]ε[. . .]ν ἀπελεύθ(ερος) Θεοδώρας τῆς κ(αὶ) Τ[
manus 2ª 8 Σιλβ[αν]ὸς Ἱέρακος Κάστορος τοῦ καὶ Δι[
9 ΙΖ L (*l.* ἔτους)
10 Νεῖλος ἀπελεύθερος Ἱέρακος[
11 Σιλβανὸς Διοσκόρου Ἑρμαίου[
12 ΙΗ L (*l.* ἔτους)
13 Ἡ[ρ]ακλ[είδης] Ὠριγένου[ς
14 [. . . .] . [. . . .] Ἑρμίνου[
15 [13 *litt.*]. δ( ) μη[τ]ρ[ὸ]ς
16 [.]ω[. . . .]ἀδελφός.


41 *Expositionis Nr. 255 Papyrus 13 : 10,5 cm mutilus superiore parte excepta*
Ex Hermopolite utuidetur (ex a. 1886) saeculi II. p. Chr. n.

41ʳ

1]ν σ[. . . .]. ς ∽ μβ ειδ( )
2] < ∽
3]σις Ἁρποκράτου Τιθο(. .)
4]ο καὶ τὴν κω τῆς α
5 ἀ]πὸ Ψεναμ

41ᵛ *dotis enarratio ab alia manu.*

1 ἁπλῶν
2 σουβρικ[ο]πάλλιον [. . . .]ον ϛ ?[
3 σουβρικοπάλλιον περσινον (πεχν) ϛ[
4 ἕτερον βαλαυστρινόν ϛ[
5 συνθεσίδιον κόκκινον σκουτουλα[τον ϛ
6 συνθέσιν ἄγναφον Ἀντινοειν (*l.* -ειον) [ϛ
7 γί(νεται) ἐπὶ τὸ αὐτὸ τοῦ ὅλου ἱματισμοῦ
8 ϛ Δχ
9 καὶ διὰ χιρ[ὸ]ς ϛ
10 γί(νεται) [
11 ἐν παραφ[έρνοις
12 /// τεν[



42,1-3 41,1-3


42 *Expositionis N. 256 Papyrus 11,6 : 8,5 cm mutilus superiore parte excepta. Arsinoites (?) saec. II.*

1]ητου Νιλιαίνης τῆς καὶ Ἀπίας[
2]ς Εὐδαιμονίδο(ς) λαογρ(αφούμενος) οἰνο(πράτης) ∽ Ν
3 [ἀδελ(φὸς) λαογρ(αφούμενος) ἐργ(άτης) ∽ κβ
4 μη] ἀναγεγρ(αμμένος) ∽ ι

(42) 5 μ]ὴ ἀναγεγρ(αμμένος) 𐅵 ς — 7] Διδυμᾶς 𐅵 β
6 μητ]ρὸς Εὐδαιμονίδος μὴ ἀναγεγρ(αμμένος) 𐅵 [— 8]δος μὴ ἀναγεγρ(αμμένος) 𐅵 ς

43 *Expositionis Nr. 257 Papyrus $11_7 : 7_7$ cm superiore parte excepta mutilus.*
Arsinoites saeculi II. p. Chr. n. vide Studien zur Palaeographie etc. X. 243 p. 138

Col. I.		Col. II.			
1	καὶ Ἡρακ]λείδῃ τοῖς β̄	1	Ἀλεξάνδρο[υ Νήσου	9	Πηλουσίου
2	]τ̄ ( ) καὶ Πολυδ(ευκ . . .)	2	Ἀπολλωνιά[δος	10	Πτολαμαιδος
3	]καὶ Ἡρα	3	Διονυσιάδ[ος	11	Πολυδευκ
4	Ἀνο]υβίω(ν) ἀγορανό(μ . .)	4	Βερνικ(ίδος)	12	Σεντρεμπ[αει
5	]προεστῶσι	5	Ἑρμουπόλεω[ς	13	Ἡρακλείας
6	]ηνου [τα]ῦ	6	Κερκευσίρεως	14	Ἀργεαδος
7	]βτκς	7	Λαχειδος	15	Μαγα[.]ίδος
8	]μω καὶ	8	. . . ους πεδί[ον		
9	].ς				



43.


44 *Expositionis Nr. 258 Papyrus $14_2 : 12_2$ cm mutilus in fine et a dextra*
Arsinoites. saeculi II. p. Ch. n.

44r

1 Καθ' ἑαυτὰ ὁμοίως
2 ἔστιν τὰ μεταδοθέντα εἰς ἀπαίτη[σιν τοῦ
3 βασιλικοῦ γραμματέως Φίλω[νος ταῦ
4 Δημητρίου
5 προσόδων ὑπαρχόντων [
6 τειμῆς ὑπαρχόντων < ἀσ[
7 τειμῆς οἴνου ⳨ ιβ ς 𐅵χ π(l. προσδιαγραφόμενα)
8 γ(ίνεται) ⳨ ιγς [
9 δ' μέρους γεωμετρίας ε δε[

44v

1 Ἄρεως
2 ἀ οὐσι ς π β ε' μέρους[
3 Ἀπόλλωνος πό(λις)
4 ἀ οὐσι ς ωπ ε' μέρους[



45 *Expositionis* № 259 *Papyrus* 20 : 17½ cm *Aegyptus inferior. a. 237 p. Chr. n.*

l. 2 Γωνιᾶται *v. Ptolemaeum* 4. 5. 24.


1 Μᾶρκος Αὐρήλ[ι]ος Ἀ[μ]μώνιος Μ[α]ξίμας τῆς Ἀμμωνίου τῶν [ἀπὸ
2 [. . .]τυλεως παρ[ατομ]ῆς Γωνιωτῶν [Μάρ]κῳ Αὐρηλίῳ Ναβρίωνι Ἀ[πολ
3 [λ]ωνίου τοῦ Ταύρ[ο]υ τῶν ἀπὸ χώρας Μοχχύρε[ω]ς τῆς Μαρμαρικῆς πα
4 ρατομῆς Ἐνξηρετων χαί[ρ]ειν(·) ὁμολογῶ εἰληφέναι παρὰ σοῦ παρα
5 θήκη[ν] ἀκ[ί]ν[δυ]νον [παντὸς κιν]δύνου δι[ὰ] χειρὸς ἐξ οἴκου ἀρ[γ]υρίου
6 Σεβα[στ]ῶν [νο]μίσματ[ος δραχμὰς πεν]τακοσ[ίας] <φ πληρης ἀρ[ιθμ]οῦ
7 ἅσπερ φυλά[ξω] παρ' ἐμαυτῷ πιστῶς καὶ ἀμέμπτως ἀποδ[ώσω
8 σοι ὁπότ' ἐὰν ἀπαιτηθῶ [ὑ]πὸ σοῦ ἄνευ δίκης καὶ κρίσεως καὶ
9 πά[σ]η[ς] εὑ[ρ]ησιλογία[ς κατὰ τὸ]ν τῶν παραθηκῶν νόμον τε καὶ
10 ἐθεισμ[ὸ]ν (·) γεινο[μένης σοι] τῆς πράξεως ἔκ [τ]ε ἐμοῦ αὐτοῦ καὶ ἐ
11 κ τῶν ὑπ[α]ρχόντω[ν μοι πάν]των καθάπερ ἐγ δίκης(·) τὸ δὲ χειρόγρα
12 φον τοῦ[το ἐξ]εδόμην καὶ [. . . .]νόμην ἐπὶ ὑπ[ο]γραφῆς ἣ καὶ κυ[ρί]α
13 ἔστω [ὡς ἐν] δημοσίῳ κατ[ακεχ]ωρισμένη [καὶ ἐπερ]ωτηθεὶς ὡμ[ολόγησ]α


14 Ἔ[τους τετ]άρτου Αὐτοκράτορ[ος Καίσαρ]ος Γαίου Ἰουλίου Οὐ[ήρο]υ Μαξιμείνου Ε[ὐσεβο]ῦς
15 Εὐτυχ[οῦ]ς Σεβαστοῦ Γερ[μανικοῦ] Μεγίστου Δακικοῦ [Μ]εγίστου Σαρματικοῦ Μεγίστου
16 καὶ Γαίου [Ἰο]υλίου Οὐ[ήρου Μαξίμο]υ Γερμανικοῦ Με[γίσ]του Δακικοῦ Μεγί[στο]υ
17 Σ[αρ]ματι[κο]ῦ Μεγίστ[ου τοῦ ἱερωτά]του Καίσαρος Σε[βαστο]ῦ υἱοῦ τοῦ Σε[βαστοῦ]
18 φαωφ[ι .]

(manus 2a) [Μᾶρκος] Αὐρή[λιος Αμμ]ώνιος ἔλαβ[ο]ν [τ]ὴν παραθήκην
19 [τὰ]ς τοῦ ἀργυρ[ίο]υ δρ[αχμὰ]ς πεντα[κοσί]ας καὶ ἀπο[δώ
20 [σω] ὡς πρόκιται

45v

Χ(*l.* χειρόγραφον) Ἀμμωνίου παραθήκης ἀργυρί(ου) 2(*l.* δραχμῶν) φ Ναβρίωνι





46r

46 *Expositionis* № 260 *Papyrus* $15_8 : 11_2$ cm *saeculi* II–III.

46r

διὰ Εὐδαίμον[ος

κλάνιον ⲋ π (l. δραχμῶν π')

διὰ Πεητεως ἐν ἐπε[ν(εχθεῖσι?)

πάλλιον ⲋ κ

δι' αὐτοῦ δακτυλι[δι . . . }

παρὰ Σαβίνης ἐνώτιον [ἀλη]

θινὸν Δ χρυ[σί]ον

ἀπὸ τῆς αὐτῆς πάλλιον ε̄[ν]

ἀπὸ τῆς αὐτῆς ψίμιθον

χιτὼν καὶ πάλλιον

]οι παρ' αὐτ( ) ἐπενεχθ..

χρ]υσίου καθαρίου ⲋ ογ

δι' Εὐδαίμ[ο]νος[. . . . κα]ροῖνον

[ὑ]δρι[ν]εῖον [κα]σσιτερ[ινόν }

[ἄ]λ[λ]ο κα[σ]σιτερινὸν [ⲋ .]ια

κάτοπτρον χαλκοῦν

κάδος χαλκοῦς εἷς

ἴθμὸς χαλκοῦς εἷς

κερβικαριον α

ἀβόλλης καροῖνος μέγ(ας) α

χιτὼν μόρινος ἡμιτριβ(ής) α

κείβωτος μεγάλη

τύλη ὑπ' αὐτήν

λουτεῖον (δι) χαλκ(οῦν) μέγα

λώκιον κασσιτερινόν

κείβωτος μεικρά

κλείνη ὀνήλατος

δι(ὰ) Εὐδαίμονος

ταπίδιον ᾱ

π[α]νάριον ἐξηρτισμένον

ἐν αὐτῷ Εὐδαίμονι πάλλιον

ἀργέντινον καινόν

46v

λόγ[ος] ἀγωγίων τῶν παρησχ( )

δι(ὰ) [τῆς] ἡμετέρας ἁμάξης ἐπ[ο]ίη(σα) ἀγω(γ) κ

παχ[ων] κ͞ς δι(ὰ) τῆ[ς] ἡμετέρας ἁμάξ(ης) ἀγω(γ) Γ

δι(ὰ) [τῆς] Ἀμμ[ωνί]ου τοῦ Ὠφεω[ς] ἀγω(γ) Γ

δι(ὰ) τῆς Τεσβ[υτο]ς ἀγω(γ) ᾱ

κ͞ζ δι(ὰ) τῆς ἡ[μετέ]ρας ἁμάξ(ης) ἀγω(γ) Γ

δι(ὰ) τῆς Χιλι[. . .]λ ἀγω(γ) Γ

δι(ὰ) τῆς Πετη[τ]ος ἀγω(γ) Γ

δι(ὰ) τῆς Τεσβυτος ἀγω(γ) Γ

δι(ὰ) τῆς Σανχοπ? ἀγω(γ) Γ

δι(ὰ) τῆς Ἀνουβᾶτος ἀγω(γ) Γ

δι(ὰ) τῆς Πεχυβιος ἀγω(γ) ᾱ

δι(ὰ) τῆς Ἀμμωνίου τοῦ (ἐκτωφ) Ὠφεως ἀγω(γ) Γ

κ͞η δι(ὰ) τῆς ἡμετέρ[α]ς ἁμάξ(ης) ἀγω(γ) β̄

δι(ὰ) τῆς Χι[. .]θωκ ἀγω[γ] β̄

δι(ὰ) τῆς Πετ[η]τος ἀγω(γ) β̄

δι(ὰ) τῆς Ἀν . . . το[υ] ἀγω(γ) β̄

λ̄ δι(ὰ) τῆς ἡμετέ[ρ]ας ἁμάξ(ης) ἀγω(γ) Γ

δι(ὰ) τῆς . μυθο[υ. ἀγ]ω(γ) Γ

δ[ι(ὰ) τ]ῆς [Τεσβ]υτος ἀγω(γ) Γ

δι(ὰ) τῆς [Ἀνουβ]ᾶτος ἀγω[γ] Γ

παυνι ᾱ δι(ὰ) τῆς ἡ[μ]ετέ[ρα]ς ἁμάξ(ης) ἀγω(γ) β̄

δι(ὰ) τῆς Πεχει[β]ιος ἀγω(γ) Γ

δι(ὰ) τῆς Ἀνουβᾶτ(ος) ἀγω(γ) Γ

δι(ὰ) τῆς Μ[ύ]ργου ἀγω(γ) ᾱ

δι(ὰ) τῆς Τεσβυτος ἀγω(γ) ᾱ

β̄ δι(ὰ) τῆς ἡμε(τέρας) ἁμάξ(ης) ἀγω(γ) Γ

δι(ὰ) τῆς Μύργου ἀγω(γ) Γ

δι(ὰ) τῆς Πεχειβιος ἀγ[ω](γ) β̄

δι(ὰ) τῆς Σανχοπ ἀγω(γ) β̄

δι(ὰ) τῆς Ἀνουβᾶτος ἀγω(γ) β̄


Γ δι(ὰ) τῆς ἡμετέρας ἁμάξ(ης) ἀγω(γ) β̄

δι(ὰ) τῆς Ἀν[ου]βατ ἀγω(γ) β̄

/ (l. γίνεται) ἀγ(ώγια) ϙ ε (l. ϙε)

47 *Expositionis Nr. 261 Papyrus 28 : 21 cm Corpus Papyrorum Raineri 1.6 Mitteis Chrestom. N. 158 p. 171 s.*
Heracleopolites. a 238 p. Chr. n.

[Ἔτους τ]ετάρ[του Αὐ]τοκρ[άτορ]ος Καίσαρος Γα[ίο]υ Ἰουλίου Οὐήρου Μαξιμείνου Εὐσεβοῦς Εὐτυχοῦς
[Σεβαστο]ῦ ἐφ' ἱε[ρέ]ων τῶν ὄντων ἐν Ἀλεξ[αν]δρείᾳ καὶ τῶν ἄλλων τῶν γραφομένων κοινῶν
[μηνὸς] Ξανθι[κο]ῦ μεχειρ ἐνάτη δι' ἐπιτ[ηρητ]οῦ ἀγορανομίας μερῶν τοπαρχίας ἀγήμ[ατος]
[τοῦ ὑπὲ]ρ Μέμ[φι]ν Ἡρα[κλε]οπολείτου(·) ὁμολογεῖ Αὐρήλιος Ἀρυώτης Νεμεσίωνος μητρὸς Θεν
[. . . .ο]ς ἀπὸ κώμης Ν[έας] Τιβύκεως ὡς ἐτῶν τριάκοντα ὀκτὼ οὐλὴ μετώπῳ παρακε
[χωρηκ]έναι Αὐ[ρηλ]ίῳ Ἀ[μμ]ωνίῳ τῷ καὶ Ἀπολλωνίῳ ἀστῷ καὶ ὡς χρηματίζει ῥήτορι ἀπὸ τῶ[ν]
[ὑπαρχ]όντων αὐτῇ πε[ρ]ὶ κώμην Ὠτειριν ἐκ τοῦ Θεοδώρου κλήρου ἀπὸ κ]ατοίκων(l. -κικῶν) ἀρουρῶ[ν]
[τεσσάρω]ν τετά[ρτ]ου λοιπῶν(l. κοινῶν?) πρὸς τὸν παραχωρούμενον Ἀμμώνιον τὸν καὶ
[Ἀπολλώνιο]ν κατ[ὰ τὸ ἥ]μισυ] μέρος τὸ λοιπὸν καὶ ἐπιβάλλον τῷ Ἀρυώτῃ (ex Αμμω *correctum*) ἥμισυ μέρος [ὅ]
[ἔστιν ἀρού]ρας δύ[ο] ὄγδοο[ν] τῶν ὅλων γ[ίτ]ονες καθὼς αὐτοὶ ὑπηγόρευσαν(·) νότου Λεω[ν]ίδου
[τοῦ καὶ Ἀ]μμωνιανοῦ [γυ]μνασιαρχήσαντος βορρᾶ Ατρητος Ατρητο[ς καὶ] ἄλλων ἀπηλιώ[του],
[Διονυ]σιάδ[ος θ]υγατρ[ὸς] Ἡρακλείδου τοῦ καὶ Σαραπίωνος ἐξηγητ[εύσ]αντος λιβὸς ὁ
[δὸς ἀνὰ] μέ[σ]ο[ν] το[ύτ]ων ⟨τὸ δὲ συμπεφωνημένον⟩ πρὸς ἀλλήλους παραχωρητικὸν ἅπ[αν ὅ ἔ]στιν ἀργυρίου
[Σεβαστῶ]ν νομ[ίσ]μα[τος] δραχμαὶ ἑξακόσιαι προσομολογεῖ ὁ παραχωρῶν Αρυωτ[ης
[ἀπεσχηκέ]ναι π[αρ]ὰ το[ῦ] Α[ὐρ]ηλίου Ἀμμωνίου τοῦ καὶ Ἀπολλωνίου ἐκ π[λ]ήρους διὰ χει[ρὸς] ἐξ
[οἴκου καὶ] παρέξ[ε]τα[ι] αὐτ[ῷ] ταύτας καθαρὰς ἀπό τε οὐσιακῆς καὶ βασιλικῆς γῆς καὶ πά
[σης ἐπιγρ]αφῆς παντ[ὸς] εἴδους καὶ ἀπό τε ἄλλων παραχωρήσεων [ἢ] ἑτέρων οἰ[κονο]
[μιῶν καὶ ἀπὸ παντ]ὸς [τοῦ] ἐπελευσομ[έ]νου ἢ ἐμποιησομένου ἀπὸ το[ῦ] νῦν ἐπὶ τὸν [ἀεὶ]
[χρόνον] βε[βαιοῖ δὲ πάσ]ῃ βεβαιώσει ⟨ἢ⟩ ἐνέχεσθαι αὐτὸν παρα[βάντα] τῷ ὡρισ[μέ]
[ν]ῳ κ[ατὰ τῶν παρασυγ]γραφούντων ἐπιτείμῳ καὶ μηδ[ὲν] ἧσσον τὰ δ[ι]ωμολ[ογημέ]
[να κύρι]α εἶνα[ι ὁ] δ[ὲ χρημα]τισμὸς ἐ[τελει]ώθη κι[ν]δύνῳ [α]ὐ[τῶν πρωτοπρ]αξ[ίας οὐ]
[σης τῷ δ]ημ[οσ]ί[ῳ περὶ δὲ] τ[ο]ῦ ταῦτα [ὀρθῶς κ]αὶ καλῶς γεγεν[ῆσθαι ἐπερω]τηθέντες ὡ[μο]
[λόγησαν ἡ παραχώρησις κυρ]ία(·)
c. 14 *litterae man. 2a*]ι[.] ἔτι καὶ Διονυσάριον Ἁρποκρατίωνο[ς c. 12 *litt.*]. τι χαρο[
c. 16 " τῆς Ἡρακλε[ο]υς πόλεω[ς ἀ]μφοδαρχείας δ[ρ]ε[ώ]ν δύο ὡς] ἐτῶν [τε]σσαράκ[οντα
c. 26 "]οὐλὴ μηλῷ δεξιῷ συνχωρεῖ[. . . . . . ἀνα]φαίρετο[ν
c. 26 "]τῷ Ἀγαθῷ Δαίμονι Πρόκλου τοῦ Πρό[κλου ὡς ἐ]τῶν [τ]ρι[ά]κ[ον]τ[α
c. 26 " ὡς ἐ]τῶν τεσσαράκ[ο]ντα ἑνὸς ἄσημον αρον[. . . . . . .]αν—



47, 1-3

48 *Expositionis Nr. 262 Papyrus 9,7 : 12 cm saeculi II p. Chr. n. Ex 1886*

Δ

]ες

Εὔπ[ο]ρος ὁ καὶ Ἑρμῆς Σιλβανοῦ [

Ἀμμώνιος Πτολεμαίου Ἀνουβίωνος [

Ἀπολ[λώ]νιος Φιβάμμωνος Ἁρποκρατίωνος [


Καραβίων οὐϊνδικτακτος (l. ατος) ἀπελεύθ(ερος) Σερή

[νου τ]οῦ κ[α]ὶ Ἀγαθοῦ Δαί(μονος) [


Ε[10 litterae]νης Ἀμμωνίου L[

[ ]Ὡρείων[ ] L[

[ ]νου Χαιρ[ήμο]νος L[



48, 1-4



50.

49 *Expositionis Nr. 263 Papyrus 12 : 10,7 cm cfr. n. 58. saeculi II–III p. Chr. n.*

49r Col. I.

]εγρ(άφησαν) εἰς κό(λλημα) μ𐅵 ἄνδ(ρες) ε-

]ρσ ἀλικ(ῆς) ς Γ = ρ̂ ÷ χβ ε[σ]χο( )

]σχβ εἰδῶν ὑικ(ῶν) ς ε = σ

]

Δ ÷ Γ(ίνεται) ς Νθ ÷ ἀλικ(ῆς) ς – β

]÷ ρ̂ = σ Γ(ίνεται) ς ΔΓσ

]

]ρ̂ ς ε σ(υμβολικῶν) ς = Γ(ίνεται) πε ς =

ιερ( )]γεφ΄ ς = ρ̂ σ Γ(ίνεται) ς = σ

]

]σ(υμβολικῶν) = σ Γ(ίνεται) ς μβ ς = σ

σ[σ] [ρ̂][ ] Γ(ίνεται) = σ χβ

Col. II.

ρ̂ ÷ σ χβ[

σὺν δὲ τοῖς [

α- [

ρ̂ ς ἀρμ[

ρ̂ ς λβ = [

ἱερ( ) γεφ΄ ς [

ρ̂ ς ξδ ς ο΄ [

ἀφ[

προςτελ[

ἀλικ(ῆς) ς α[

εἰδῶν ὑ[ικῶν

49v Col. I

]ε( )

]τε

]

]–

]

]

]π

Col. II.

ως αἱρ΄ κατακ΄ [

ια ϛ ΔLηιβ ϛα ϛ εLη [

ϛ εLηλ[β] ϛαε = [

ϛ Δ δων ϛαϛ ΔLη [


α ϛ ΔL[.]β [ϛ]αις [

Ἰδιωτικ(ῆς) ϛ ηηδις [

α[ρ]΄ ε ϛ α κοι( ) ϛ πς [

αρ΄ α ϛ αδ΄ ϛας – ϛ[

[ ]σπ΄ ενγι ϛ ριγ Lηιβ . ς[



49r, 1.2.

50. *Expositionis Nr. 264 Papyrus $23_5 : 9^{cm}$ mutilus dextra parte.*
Ex Arsinoite. Imperante Marco scriptus.

ἀντίγρ(αφον) παρα[χω]ρήσεω[ς γενομένης]
διὰ γρα[φ]ε̣ίου Ἀφρ[οδίτης] Βερε̣[νίκης πόλεως μετὰ]
κυρίου [τ]οῦ ἐμοῦ[..... Μ]άρω[νος
ὡς ἐτῶν τεσσαράκ[ον]τα[ὡς ἐτῶν .... κοντα]
δύο ἀσήμῳ πεπρακέναι [καὶ παρακεχωρηκέναι
μητρικὰ πεπρακέναι μὲν ἐπ[περὶ Φυλακιτικὴν]
Νῆσον τῆς αὐτῆς μερίδος ἐκ τοῦ[...]ίσκο[υ κλήρου ἀρούρας τρεῖς τέταρτον]
ὄγδοον ἐ̣πὶ παντὸς δὲ τοῦ ἀρουρηδου η[
καὶ ποτίστραις καὶ ἐκ[χύ]σεσι πάντων δὲ κ[ατὰ τὸ ἥμισυ
τὴν τῆς ὁμολογούσης μητέρα προσενε[γκεῖν ἐν φερνῇ γείτονες]
βορρᾶ ῥύμη βασιλικὴ λιβὸς τοῦ αὐτοῦ βαλανε̣ί̣[
ρεσίαν νότου ἑτέρων κλῆρος καὶ ὑπα[
Ἀντωνείνου μηνὶ Καισαρείῳ[
καταλοχισμῶν ὑπὲρ τῶν κατοικικῶν[
τειμὴν καὶ παραχωρητικὸν κεφάλαιον[κατοι]
κικῶν τὰς λοιπὰς δραχμὰς πεντακ[βεβαιώσειν τὰ παρα]
κεχωρημένα ὡς πρόκειται πάσῃ βεβαι[ώσει καὶ παρέξεσθαι αὐτὰ καθαρὰ ἀπό τε οὐσια]
κῶν καὶ ἐπιγραφῶν καὶ παραγραφῶν π̣[αντοίων παντὸς εἴδους μέχρι τοῦ ἐνεστῶτος]
Θς(l. ἔτους) καὶ αὐτοῦ τοῦ ἔτους ἀπὸ δὲ ἰδιωτικῶν κα[ὶ πάσης ἐμποιήσεως
ἀποφερο[μέ]ν̣ο[υς] καὶ [δ̣]ι[ο]ικοῦντας καὶ οἰκο[νομοῦντας
τειμὴν μεθ᾽ ἡμιολίας καὶ τὰ δαπανήματ[α διπλᾶ
κυρίου φαμένων μὴ εἰδέν[αι] γράμματα[τοῖς τὰ]
ἀρχεῖα πραγμευομένοις(l. -ματ-) χαίριν(l. -ειν) βιβλ[ί
χρηματίσητε αὐτῇ ὡς ἠξίωσεν ἐπι[
Ἀντωνείνου Καίσαρος τοῦ κυρίου Ἀρμενια[κ
ἀπὸ κώμης Φυλακ[ιτι]κῆς [Νήσ]ου[περὶ τὴν αὐτὴν Φυλακιτικὴν]
Νῆσον ἥμισυ μέρος ἐ[κ] τοῦ πρὸ[ς] νότο[ν
ἐν μὲν τῇ κώμῃ ἥμισυ μέρος οἰκίας κ[αὶ αὐλῆς
ἀρούρας τρεῖς τέταρτον ὄγδοον τειμῆς καὶ [παραχωρητικοῦ ἀργ(υρίου) ς ... ἀξιῶ διὰ τὸ ἐμὲ χήραν]
εἶναι καὶ μὴ ἔχειν υἱοὺς ὅθεν αἱρουμ[ένη
συνχρηματίζειν μοι πωλούσῃ καὶ παραχωρο[ύσῃ
τοῦ Ἀπολλωνίου ἀδελφῷ Δείῳ φυλῆς Τ[
χρείας(·) ἀνέγνων(·) Διογένη[ς π]ρυτανικο[
(man. 2ª) ΖΗΝΩΝ CΑΡΑΠΙΑΔ[
ΡΕΧ[
ΘΟΤΙΚ[Ο]Ν[

51. *Expositionis Nr. 265 Papyrus 21 : 13,5 cm Imago luminis opera confecta exstat in Mittheilungen aus der Sammlung Papyrus Erzherzog Rainer II p. 31 eademque in Führer durch die Ausstellung Papyrus Erzherzog Rainer Tab. XI. – Arsinoites a. 238 p. Chr. n.*

ὁμολογεῖ Αὐ[ρή]λιος Ἰσχυρᾶς Θεογ[εί]τονος μητρὸς
Ταήσεως ἀπὸ κώμης Φνεβίη ἔχειν
παρὰ Αὐ[ρη]λίου Διοσκόρου [ἐξ]ηγητεύσαν
τος [β]ουλευτοῦ τῆς Ἀρσιν[ο]ειτῶν πόλεως
χ[ρηστοῦ] πυροῦ ἀρτάβας εἴκοσι τέσσαρες (l. -ας)
ἥ[μισ]υ ὧν καὶ τὴν ἀπόδοσιν ποιήσε
ται ὁ Ἰσχυρᾶς τῷ Αὐρηλίῳ Διοσκόρῳ
ἐν μηνὶ φαωφι τοῦ ἐνεστῶτος δευτέ
ρου ἔτους τὰς τοῦ πυροῦ ἀρτάβας εἴκο
σι τέσσαρες (l. -ας) ἥμισου ἐν τῇ αὐτῇ κώμῃ
μέτρῳ δρόμῳν τετραχοινίκῳ(·) ἐὰν δὲ
μὴ ἀποδοῖ ὁ Ἰσχυρᾶς τῇ προκειμένῃ
προθεσμίᾳ ἐκτίσι (l. -ει) τῷ Διο[σ]κόρῳ τὴν ἐπὶ
τοῦ καιροῦ ἐσομένην πλείστην τειμὴν
τοῦ πυροῦ ἀνυπερθέτως γεινομένης
αὐτῷ τῆς πράξεως ἔκ τε τοῦ Ἰσχυρᾶ καὶ
ἐκ τῶν ὑπαρχόντων αὐτοῦ πάντων
καθάπερ ἐγ δίκης καὶ ἐπερωτηθὶς (l. -εὶς) ὁ Ἰσ
χυρᾶς ὡμολόγησεν
Αὐρήλ(ιος) Ἰσχυρᾶς L μ οὐλ(ὴ) γόνατι δεξιῷ

L β´ Αὐτοκράτορας Καίσαρος Μ[άρ]κου Κλωδίου
Που[π]ιηνοῦ Εὐσεβοῦς Εὐτυχοῦς Σεβαστοῦ καὶ Αὐτοκράτορος
Καίσαρος Δεκίμου Καιλίου Καλουίνου Βαλβείνου
Εὐσ[ε]β[οῦ]ς Εὐτυχοῦς Σεβαστοῦ καὶ Μάρκου Ἀντωνίου
Γορδιανοῦ τοῦ ἱερωτάτου Καίσαρος θωθ ια


in fine sunt litterarum Arabicarum s. VIII uestigia

]  [


2 Φνεβίη *restituerunt Grenfell-Hunt Tebtunis Papyri II p. 408 – l. 21s. a manu Iᵃ ut uidetur.*

52 *Expositionis Nr. 266 Papyrus 12,7 : 6,5 cm Heracleopolites a. 242 p. Ch. n.*

Αὐρηλίωι Ἰσι[δ]ώρῳ
[στ]ρ(ατηγῷ) Ἡρακλεοπολ(ίτου)
παρὰ Αὐ[ρ]ηλ(ίου) Ἀρογμητος
καὶ μετόχ(ων) σιτολ(όγων) κώ(μης)
Ταχμορου(·)
ἐμετρήθ(ησαν) ἡμεῖν (l. -ῖν)
τῷ μη(νὶ) μεχειρ τοῦ
ἐνεστῶτος ε ς (l. ἔτους) Μάρκου
Ἀντωνιου Γορδιανοῦ
Καίσαρος το[ῦ] κυρίου
ἀπὸ γενή(ματος) τοῦ διελ(ηλυθότος)
Δ ς (l. ἔτους) πυροῦ ἀρτάβαι
δίκα ~ (l. γίνεται) ζ [·]
αἱ καὶ διασταλ(εῖσαι) ὑ (l. ὑπὲρ) πε( )
Φιλονείκου
[ ]·-[




52, 1-3



52, 13-16


53 *Expositionis Nr. 267 Papyrus 27 : 8 cm ex sex fragmentis a me restauratus. mutilus in initio Heracleopolis. A. 246 p. Chr. n.*

].ου Σωτη
[ρ]ἀπὸ τῆς αὐ
τῆς πόλεως Αὐρηλίῳ Καλλινεί-
κῳ Νεμεσίωνος ἀγορανομή
σαντι βουλε[υ]τῇ τῆς αὐτῆς
πόλεως μ[ε]μίσθωμε (l. -αι)
παρὰ σοῦ τὸ ὑπάρχον σοι ∠
ἐν Ἡρακλέους πόλει ἐν τῇ
Ἑλληνικῇ [ἀγ]ορᾷ δίμοιρον
μέρος ο[ἰ]κίας ἐπὶ χ[ρ]όνον
ἔτη [. . .] ἀπὸ τοῦ ὄντος μη
νὸς Θωθ τοῦ ἐνεστῶτος
Δ ς (l. ἔτους) ἐνοικίου κατ' ἔτος ἀργυ
ρίου δραχμὰς ἑκατὸν
ἑξήκοντα ἃς καὶ ἀπο
δώσω σοι κατ' ἔτος ἐν τέ[σ]
σαρσει δόσεσει (l. -σι) ἀνυπερθέ
τως καὶ οὐκ ἐξέσται μοι ὑ
φαίνειν ἐν τῇ οἰκίᾳ εἰ μὴ
ἐν τῷ πυλῶνι μέχρει (l. -ρι) τ[ρ]ιῶν
γερδίων (·) ἐὰν δὲ βουληθῶ
ὑφαίνειν ἱμάτιά μου ἴδια
ἐξουσίαν ἔχω μέχρει (l. -ρι)
τεσσάρων γερδίων (·) τῆς
πράξεώς σοι οὔσης ἔκ τε
ἐμοῦ καὶ ἐκ τῶν ὑπαρ
χόντων μοι πάντων
πράσσοντι καθάπερ ἐκ δ[ί]
[κη]ς καὶ ἐπερωτη[θε]ὶ[ς] ὡμ(ολόγησα.)
∟ Δ Α[ὐ]τοκρά]το[ρ]ος Καίσαρος
Μάρκου Ἰουλίου Φιλίππου
Εὐσεβοῦς Εὐτυχοῦς καὶ Μάρκ(ου)
Ἰουλίου Φιλίππου τοῦ ἱ̣ε̣ρ̣οτάτου
καὶ ἐπιφανεστάτου Καίσαρος
Σεβαστῶν Θωθ β
Αυρ



53, 34-36

54 *Expositionis N. 268 Papyrus 21 : 61 cm v. Corpus Papyrorum Raineri I 20. Wilcken Chrestomathie p. 479 Nr. 402 ubi I 11.13-16 egregie restituta. Hermopolites. A. 250 p. Chr. n.*



54. col. 2 finis

54 Columna I.

[Αὐρήλιος Ἑρμόφι]λος Ὡρίωνος κοσμητεύσας Ἑρμουπόλεως τῆς μεγάλης ἀρχαίας καὶ λαμπρᾶς καὶ σεμνοτάτης
[Αὐρηλίῳ Εὐδαίμ]ονι τῷ καὶ Θεοδότῳ γυμνα[σι]αρχήσαντι καὶ ἀρχιερατεύσαντι βουλευτῇ διαδεχομένῳ τὴν πρυ
[τανείαν τῆς αὐτ]ῆς πόλεως τῷ τιμιοτάτ[ῳ] χαίρειν(·) Φθά[σ]ας μὲν ἐπέστειλα τῇ κρατίστῃ βουλῇ διὰ σοῦ
[τα διὰ τοῦ ἐ]πιστάλματος τοῦ τοῦ νομοῦ στρατηγοῦ Αὐρηλίου Ἱέρωνος διὰ Αὐρηλίου Ἑ[ρ]μοῦ στρατηγικ[ο]ῦ
[ὑπηρέτου ἀν]τιγραφέντα μοι ὑπὸ τοῦ λαμπροτάτου ἡμῶν ἡγεμόνος Ἀππίου Σαβείνου(,) πρὸς ἃ ἠξί
[ουν παρ'] αὐτοῦ ἐξιστανόμενος πάντων ὧν ἔχω τοῖς προβαλομένοις τὸν ἡμέτερον υἱὸν
[Αὐρήλιον] Ὡρίωνα τὸν καὶ Ἑρμαῖον εἰς κοσμητείαν τῆς αὐτῆς πόλεως μεθ' ἣν ὑπογύως
[ἐξετέλεσα ὑπὲρ] ἐμαυτοῦ ἐξαναλωθείς(,) δι' ὧν ἠθέλησεν τὸν κίνδυνον τῆς προβολῆς εἶναι πρὸς
[τοὺς ὀνομάσαντ]ας(,) τὸν δὲ [τ]οῦ νομοῦ στρα⟨τη⟩γὸν βίαν γεινομένην κωλῦσαι(,) εἰ γείνο[ι]το παρὰ τὰ ὑπ' αὐτοῦ
[σωτηρίως διηγορευθ]έντα(,) ἅπερ ἐπενήνεκται ἀκολούθως τῇ ἐκδοθείσῃ μοι ὑπὸ τοῦ εἰς τοῦτο ἐπισταλέν
[τος ὑπηρέτου ὑ]πογραφῇ ἐπὶ τῆς μ[ι]ᾶς καὶ εἰκάδος τοῦ ὄντος μηνὸς ἐπείφ(·) ἐχες(l. ἐχθὲς) δὲ ἥτις ἦν κβ
[ἐπειφ ἐξεδόθη μοι] διὰ βουλευτ[ι]κοῦ ὑπηρ⟨έτ⟩ου ἐπίσταλμά σου τοῦ Εὐδαίμ[ο]νος τοῦ καὶ Θεοδότου αὐτο
[προσώπως ἀντεπ]ισταλέντ[ο]ς περὶ τῆ[ς α]ὐτῆς ἀρχῆς μετ' ἔκστασιν καὶ παραμορισθέντα ἐκ τῶν νόμων
[καὶ] τῆς [ὑπογρα]φῆ[ς] ἐπιφ[θ]όνως τ[ι]νὰ δηλώσαντος κατὰ τὸ ἀναγκαῖον(·) καὶ νῦν ἀντεπιστέλλω σοι
ἐπ[ε]ιδ[ήπερ τῷ] ἐκστάντ[ι] καὶ τῶν ἰδίων ἀφισταμένῳ ὑπάρχει ἐκ τῶν νόμων καὶ τῶν θείων διατά
[ξ]εων α[ὕτ]η ἡ [βο]ήθεια τὸ μηδεμίαν βίαν πάσχειν [ο]ἷς ἁρμοζόμενος ὁ λαμπρότατος ἡγεμὼν καὶ
[κ]αθοσι[ούμ]εν[ος] ἠθέλησεν [τὸ]ν στρατηγὸν βίαν κωλῦσαι προσθεὶς τὸν κίνδυνον τῆς προβολῆς εἶναι περὶ
[τοὺ]ς ὀνομ[ά]σαντας(·) εἰ δὲ οἴει σὺ [αὐ]τὸς τὰ πάντα μου λαβὼ[ν] ἀντὶ τοῦ νενομισμένου τρίτου τὰ τῇ ἀρχῇ διαφέροντα
[π]άντα ἀ[π]οπληρώσεις καὶ [μ]ὴ ἐνεδρεύειν μηθτε(l. μήτε) τὴν πόλι[ν] μήδε(l. τε) τὴν κ[ρ]ατίστην βουλήν(·) ἀρκέσθή
[σο]μαι γὰρ τῷδ[ε] τῷ ἀντεπι[σ]τάλματι ἐ[ν] μεγίστῳ δικαιώματι(·) Αὐρήλιος Ἑρμόφιλος Ὡρίων[ος] κοσμητεύσας
[ἐρρῶσθ]αί σε εὔχ[ομ]αι φίλτατε(·)
[L]α' Αὐτοκρά[το]ρος Καίσαρος Γ[αί]ου Μεσσίου [Κ]υίντου Τραιανοῦ Δεκίου Εὐσεβοῦς [Ε]ὐτυχοῦς Σεβαστοῦ [ἐ]πεὶφ κγ

II.

Αὐρηλίῳ Ἀππίῳ Σαβείνῳ τῷ λαμπροτάτῳ ἡγεμόνι
παρὰ Αὐρηλίου Ἑρμοφίλου Ὡρίωνος (ωεχο) κοσμητεύσαντος Ἑρμουπόλεως τῆς μεγάλης ἀρχαίας
καὶ λαμπρᾶς καὶ σεμν[ο]τάτης(·) ἐπίσταλμα δισσὸν γραφὲν ὑπ' ἐμοῦ πρὸς την(l. τὸν) τὴν πρυτα
νείαν διαδεχόμενον Αὐρ[ήλ]ιον Εὐδαίμονα τὸν καὶ Θεόδοτον γυμνασιαρχήσαντα βουλευτὴν
τῶν [α]ὐτ(ῶν) Ἑρ(μοπολιτῶν) πρὸς ἃ αὐτὸς ἀ[ντ]ε[π]έστ[ε]ιλέν μοι αὐτοπροσώπως μόνος περὶ κοσμητείας
εἰς ἣν ὠνομάσθη οὐ δεόντως ὁ ἡμέτερος υἱὸς Αὐρήλιος Ὡρίων ὁ καὶ Ἑρμα[ῖ]ος μεθ' ἣν ἐξε
τέλεσα ὑπὲρ ἐμαυτοῦ προτέ[ρ]αν [ὑ]πογύως φθάσαντός μου ἐπιστείλαντος τῇ κρατίστῃ
βουλῇ δι' αὐτοῦ τὰ ἀντιγραφέντ[α] μοι ὑπὸ τοῦ λαμπροτάτου ἡγεμόνος σοῦ τοῦ δεσπότου.
δηλαδὴ [ἐ]ξ ἀξιώσεώς μου μ[ε]τ' ἐκστάσεως πάντων τῶν ὑπαρχόντων μου πρὸς τὴν ἄνο
μον ὀνομασίαν καὶ μὴ δε[χο]μένου αὐτὰ ὡς περιέχει ἀποτίθεμαι ἐν τῷ ἐνταῦ[ῦ]θα
Σεβαστείῳ παρὰ τοῖς ἱεροῖς εἴ[χ]νεσι τοῦ κυρίου ἡμῶν καὶ θεοφιλεστάτου Αὐτοκράτορος
Γαίου Μεσσ[ί]ου Κυίντου Τραιανοῦ Δεκίου Εὐσεβοῦς Εὐτυχοῦς Σεβαστοῦ καὶ Ἑρεννίας
Κουπρεσήνας Ἐτρουσκίλλας Σεβαστῆς ἅμα τῷδε τῷ μαρτυροποιήματι πρὸς τὸ μηδὲν
τὸ σὸν μέγεθος λανθάνειν ἀσφαλιζόμενος τὴν περὶ ἐμὲ φρουρὰν διὰ ὑπηρέτου βουλευ
τικοῦ καὶ φύλακος τῆς πρυτανείας ἔτι ἀπὸ εἰκάδος τοῦ ὄντος μηνὸς ἐπεὶφ παρὰ [τ]ὰ
ὑπὸ σοῦ σωτηρίως διηγορευμένα(,) φυλασσομένων μοι ὧν ἔχω παντοίων δι[κ]αί
ων   διευτύχει
L α' Αὐτοκράτορος Καίσαρος Γαίου Μεσσίου Κυίντου Τραιανοῦ Δεκίου Εὐσεβοῦς Εὐτυχοῦς
Σεβαστοῦ ἐπεὶφ [κ]γ(·).   Αὐρήλ[ι]ος Ἑρμόφιλος Ὡ[ρ]ίωνος κοσμητεύσας ἀπεθέμην
ὡς πρόκειται
manus 2ª Α(ὐρήλιος) *Ἡρωδίων ἔσχον ἴσθν(l. -ον)* L α' ἐπεὶφ κγ(·) τούτων τὰ ἴσα
ἀπέθου(·)

I 13 emenda ἀντεπιστείλαντος, παραμερισθέντα


55. *Expositionis Nr. 269 Papyrus 19 : 16₃ cm transversa charta scriptus.*
Heracleopolites *A. 251 p. Ch. n. Vide Corpus Papyrorum Raineri 137 p. 164.*

Αὐρήλιος Ἀρτεμίδωρος Σαβείνου Ἀντινοεύς
Αὐρηλίᾳ Σαραπιάδι Διονυσίου ἀστῇ διὰ Αὐρηλίου Ἱπ
man. 2ª *πιου Διοσκόρου ἀφ' Ἡ*ρακλέους πόλεως μεμίσθωμαι παρὰ σοῦ περὶ κώμην
Πεενάμεα ἐκ τοῦ (spatium 8 litt. vacuum) κλήρο(υ) ἀρούρας
πέντε ει(l. εἰς) σπορὰν πυροῦ εἰς τὸν σπόρον τοῦ ἐνεστῶ

(55)

τος Β𐅵(ἔτους) ἐκφορίου ἀποτάκτου πυροῦ ἀρταβῶν τριά̣κ̣ον
τα δύο γ(ίνεται) ἀποτάκτου πυροῦ 𐅵 λβ ἃς καὶ ἀποδώσω σοι
τῷ μηνὶ παυνι τοῦ ἐνεσ(-ῶτος) Β𐅵(ἔτους) ἀνϋπερθέτως καὶ ἀκίν
δυνα παντὸς κινδύνου καὶ ἀνϋπόλογα παντὸς
ὑ]π[ολ]όγου τῆς πράξεώς σοι οὔσης ἔκ τε ἐμοῦ καὶ
ἐκ τῶν ὑπαρχόντων μοι π̣ά̣ν̣τ[ω]ν̣ πρασσούσῃ καθά
περ ἐκ δίκης τῶν τῆς γῆς δημοσίων πάντων
ὄντων πρὸς σὲ τὸν (dele) τὴν γ̣ε[οῦ]χ̣[ο]ν̣ κ̣αὶ ἐπερωτη
θεὶς ὡμολόγησα (ἡ) μίσθωσις κυρία
(ἔτους) β´ Αὐτοκράτορος Καίσ[αρο]ς Γαίου Μ̣[εσσίου Κυΐντου
Τραιανοῦ Δεκίου Εὐσεβοῦς Ε̣[ὐ]τυχοῦς καὶ Κυΐντο[υ] Ἐρ[εννίου
Ἐτρούσκ[ο]υ Μεσσίου Δεκί[ου καὶ Γ]αίου Οὐ[άλεντος Ὁστιλιανοῦ
Μεσσίου Κυΐντ̣ο̣υ τῶν [Σεβ]ασ[μ]ιωτάτω̣ν Καισάρων
φαμενωθ ῑ (man. 2a) *Αὐρή(λιος) Ἀρτ[εμ]ί[δωρος μεμίσθωμαι ὡς πρόκειται*
Αὐρή(λιος) Ἡρακλείδης ὁ καὶ Ἀλέξα[νδρος ἔγραψα ὑπὲρ αὐτοῦ
γράμ̣ματα μὴ εἰδότος


2.1
„2



56 *Expositionis Nr. 270 Papyrus 3.5 : 9 cm mutilus ab omni parte*
A. 252/3 p. Chr. n.

]φης αυτ[ ]θοτικ[
]ειαν π̣ά̣νταχοῦ π̣[ε]ριφ[ερομένην
]περὶ δὲ τοῦ τα[ῦτα ὀ[ρθῶς κ[α]ὶ κ̣αλῶς γεγενῆσθαι ἐπερωτη
θ[εὶς ὡμολόγη[σα] ἡ συγγρα[φὴ] κυρία [L. Αὐτοκράτορος Καίσαρος
Γαίο̣υ Οὐιβίου Τρεβ[ο]νιανοῦ Γάλ[λου
]Οὐελδουμ:ια̣ν̣οῦ Οὐολουσιανοῦ[
]ἐ̣π̣ε̣ι̣φ ιβ


5
6
7



57 *Expositionis Nr. 271 Papyrus 24₅ : 8₅ cm v. Corpus Papyrorum Raineri I. 38 p. 165*
Arsinoites ex 1886. A. 263 p. Chr. n.

Αὐρηλίᾳ Θ^Η^ερμουθαρίῳ [τ]ῇ καὶ Ἡρ[α]
ίδι Ἀντινοΐδι κ̣α̣ὶ̣ ὡς χρη(ματίζει) δ̣ι̣ὰ Αὐρ(ηλίου) [Ἀμ]
μω̣[ν̣ᾶ ο]ἰκ̣έτ̣ο̣υ̣[
Παρὰ Αὐρηλίου Ἥουτος Ἐπαγάθου
μητρὸς Διδύμ[ης] ἀπὸ κώμης
Δ̣ιονυσιάδος(·) βούλομαι μισθ[ώ]σασ̣
θαι παρὰ σοῦ τὰς ὑ̣παρχούσας σο̣ι̣
περὶ τὴν προκει(μένην) κώμην Διονυσ̣ι̣
άδα ἐν τόπῳ Ψιβιστανεως λεγο^μ^(ένῳ)
σιτικὰς ἀρούρας δύο ἢ [ὅ]σαι ἐὰν
ὦσι ἐπ[ὶ] χρόνον ἔτη τέσσαρα
ἀπὸ τοῦ ἐνεστῶτ̣ος ια (l. ἔτους) ἐκ
φορίου κατ' ἔτος ἕκ̣αστον πυροῦ
ἀρταβῶν ἓξ καὶ ἐπιτελέσω
τὰ κατ' ἔτος ἔργα πάντα ὅσ̣α
καθήκ̣ει ἐκ το̣ῦ ἰδίου καὶ
τὸ ἐκφ̣ό̣ριον ἀπο̣δώσω ἐν
μηνὶ παυνι μέτρῳ ἕκτῳ
θεοῦ τῆς κώμης καὶ μετὰ
τὸν χρόνον π̣α̣ραδώσω τὰς
ἀρούρας ἀπὸ καλάμης ἀπὸ θρυ
ου καλάμου ἀγρώσ[τεω]ς δείσης
πάσης ἐὰν φαίνη[τ]α[ι] μισθῶ̣
σαι(·)
Αὐρ(ήλιος) Ἥους ὡς L (l. ἐτῶν) λ οὐλὴ γαστρο
κνημίᾳ ἀριστερᾷ


L ια' τοῦ κυρίου ἡμῶν
Γαλλιηνοῦ Σεβάστου
φαωφι κ'



57.

58. *Expositionis Nr. 272 Papyrus 24₅ : 65 cm fragmenta multa mutila v. Corpus Papyr. Hermopolitanorum, Studien zur Palaeographie und Papyruskunde V 1905 p. 4. Nr. 7 coniecturas proposuimus Petri Jouguet La vie municipale dans l'Egypte Romaine, bibliothèques des écoles françaises d'Athènes et de Rome, fascicule 104e Paris 1911; U. Wilcken A.P. 3, 542 s. Hermopolis Magna. Imperante Gallieno c. a. 265. 266. p. Ch. n.*

58.



54. Col. I.

ξγ

[τῶν δὲ βο]υλευτῶν φωνησά]ντων (·) διὰ τῶν δύο γυμνασιαρχῶν γενέσθω(·) ὁ πρ[ύτα]νις
[τοῖς δύο γυμνασιάρχοις Πανίσκῳ τῷ καὶ Μέλανι] καὶ Ἰσιδώρῳ τῷ καὶ Ἡρακλίῳ εἶ(πεν) ἀμφοτέρους
ὑμᾶς προτρέ
[πομαι Ἰσίδωρος ὁ κ]αὶ Ἡρακλι[ο]ς εἶ(πεν·) ἀλλὰ Ἡρακλάμμων ἑαυ[τ]ὸν ὑπέβαλεν καὶ ἀπε
[λεύσεσθαι ὡμολογεῖτο· ἐν γὰρ τῷ καιρῷ τοῦ διαλογι]σμοῦ τῷ μεχειρ οὐκ ἦρξεν(·) Ἡρακλάμμων ὁ καὶ Σα
[ραπ]ίων εἶ(πεν·)
εἰ θ]έλετε δότε μοι διάδοχον τῆς προστασίας τῆς εὐθηνιαρχ[ί]α]ς καὶ
[ἀπελεύσομαι νυνὶ δ' ἐπείγει με ἡ π]ροστασία καὶ μόνος εἰμί(·) ὁ πρύτανις εἶ(πεν·) τὰ τῆς ἐπι[μελε]ί[ας] τῆς
]ὑπαρχθῆναι οὖν καὶ τὸ βέβαιον τῇ πόλι ἐκ τῶν γυ[μνα]σιαρ
[χικῶν]τῶν δὲ βουλευτῶν φωνησά]ντων(·) ωκεανε Ἡρακλάμμων(·) Ἡρακλάμμ[ων ὁ] καὶ Σα
[ραπίων εἶ(πεν·) διαδεχέ]σθω μέ τις καὶ ἀπελεύσομαι ἢ ἄλλον πέμψον(·) [ἀλ]λὰ γὰρ
]πείσατε αὐτὸν ἢ ἐπιστείλατε ᾧ βούλεσθε(·) τὰ δὲ ἐμὰ (sc. κτήνη) ὡς ἔφην
ἀμφισβητή]σας πολλάκις περὶ τούτου(·) [Πα]νίσκο[ς] ὁ κα[ὶ Μ]έλας εἶ(πεν·) ἀναγκαι
εὐθὺς μετὰ τὸ συντ]ιμ[ήσ]ασθαι τὰ κτήνη παραδ[ι]δ[όναι ταῦτα εἰ ἐμαυτῷ ἄλλα
]ε[μέχ]ρις συντιμ[ήσεω]ς [ὀ]φ[ί]λετε σὺν τῇ τότε γεναμένῃ
εἰ δὲ θέλ]ετε ἑτέραν γενέσθαι οὐκ ἀντιλέγω οὐ γὰρ δύναμαι
ὁ]πρύτανις εἶ(πεν·) ε[ἰ] μόνην ὑπομνησαι τὴν βουλὴν
τ]ῷ πρυτανεύσαντ[ι] Ἡρακλαπόλλωνι καὶ ὑπο
]ου γὰρ ἐμηνά[μ]ην (·) τοῦτο γείνεται(·) Πανίσκος
]ὁ κίν[δ]υνος [ἔσ]ται πρὸς αὐτὸν ἐὰν μὴ συντι[μ
π]άσης σκέψω [ἐ]πεὶ πειθανὸν ἐπ' ἐκείνῃ
]μενη τότε καταχωρισθήτω Αὐρήλιος
]μ[....]εσ[.....] ἐὰν μὴ προτελ[ε
οντο......] ὁ πρύτανις
]ησεως δια
]ον δὲ πάλιν
]ι Κάστωρ

Col. II.

ξδ

τῇ κρατίστῃ βουλῇ Ἑρμουπόλεως [τ]ῆς μεγάλης ἀρχαίας καὶ λαμπρᾶς [π]αρὰ Μ[άρκου Αὐρη
λίου Ἀσκληπιάδου τοῦ καὶ Ἑρμ[ο]δώρου νεωκόρου τοῦ μεγάλου Σαρ[άπιδ]ος πανκρα
τιαστοῦ περιοδονείκου ἀλείπτου ἀ[συνε]ξώστου διὰ βίου ἐνάρχου πρυτά[νεως διὰ
Μάρκων Αὐρηλίων Ἀμμωνίο[υ τοῦ] καὶ Πολυδεύ[κ]ους κοσ(μητεύσαντος) καὶ Διοσκόρου Διοσκόρου
Ἑρμαίου ἀγορανομήσαντος ἀμφοτ(έρων) βου(λευτῶν) τῆς αὐτῆς πόλεως(·) ἐπεὶ ἡρέθημεν ἐν τῷ συν
εδρίῳ ἀκο(ύθως) τοῖς ὑπομνη(ατισθεῖσι) ἐπὶ τῆ[ς κ]ρατίστης βουλῆς καταπάτησιν ποιήσασθαι χωρίων
καὶ παραδείσων καὶ [ἀ]ναγραφὴν φυτῶν τῶν καταλαμβανομέν[ων δη]λῶσαι ὑμεῖν
καὶ διάθεσιν τῶν α' (l. πρότερον) [..]το[..]λομης νυνὶ τοῦ ἁγιωτάτου Σαραπίου ἱερ[ε]ίων λόγου
ὧν ἐστιν μισθω[τὴς] Αὐρή(λιος) Πα[ν]ίσκος ὁ καὶ Μέλας γυ( ) καὶ πρυ( ) καὶ ὡς χρη(ματίζει) δη(οῦμεν) ὑμεῖν —
ὡς ἑξῆς ὑπόκειται ἔστι δέ(·)
Ἐν κώμῃ Βωου γενά[μ]ενοι συν[ό]ντος ἡμῖν καὶ τοῦ ἀξιολογωτάτου ἐνάρχου πρυτάνεως
Αὐρηλίου Ἀσκληπιάδου ἐπα[κ]ολουθοῦντος Μαύρου φροντιστοῦ τῆς οὐσίας ἐπείδομεν
τῶν ἐκ τοῦ Κ[α]λλιμάχου κλήρου [ἀμ]π[ε]λικ(ὸν) χωρίον (l. ἀρουρῶν) κβ ἢ ὅσων ὀλίγην μὲν ἄμπε
λον ζωφυτοῦσ[α]ν καὶ [τ]αύτην ἐν [..].ωτάτῳ ἀμελίᾳ οὖσαν καὶ ἔνθρυον κύκλῳ δὲ τοῦ
χωρίου χέρσον πολλὴν καὶ θρύ[ον] τὸν δὲ λάκκον καὶ τὸ ὑδροδοχῖον του (l. τὸ) ἐγ νότου
τοῦ χωρίου ἐν συμπτώσει ἀπὸ μ[έρ]ους(·) ἐπέ[κει]το δὲ τῷ ὀργάνῳ μυξέα ζωφυτοῦσα
καὶ συκάμειναι κ̄ συνη[ρη]μέν[αι κ]αὶ ἄλλαι ἐσκορπισμέναι ἐν τῷ χωρίῳ βραχῖαι μύξαι
ἀριθμῷ ξ̄ καὶ πρὸς ‹τῷ› νοτίνῳ τίχ[ει τ]οῦ κτήματος ἐν τῷ ἀπὸ νότου πρὸς τῷ λιβὶ λη
νῶνι σὺν πίθῳ ὁμοίως ἐν [συμπ]τ[ώσ]ει τῷ δὲ βορινῷ ὀργάνῳ καὶ [λάκ]κῳ ἐν
συμπτώσει ἀπὸ μέρους καὶ αὐτο[.........]ε[ν]ην ζωφυτοῦσαν μυξε[ἐγ]
γύθεν τοῦ ὀργάνου οἰ[κί]α παλαιὰ [.........]κ[...]σὺν [λ]ην[ῷ
ἐπιθεώρησιν γενάμενοι συν[όντος ἐκ τοῦ]
Φιλίσκου κλήρου φοινικοπαράδ[εισος
μεν ἀπηλιωτικῷ μέρει τὸ ὑπάρ[χον
τὸ δὲ ἄλλο μέρος πρ[ὸς τῷ] λιβ[ὶ
θα σῶμα μέγα περ[σέας
περ[σέ]αν ζωφυτ[οῦσαν
καὶ μ[ετὰ το]ύτου παρ[
[......]α χέρσῳ[

54 Col. III.

ἀπο λ. . . . . . ι . ους με[ ]τι καὶ ἀπηλ(ιώτη) ἄχρι κεθ[
ἀπηλ(ιώτου) ἄλλη α καὶ ἐν τῷ λοιπ[ῷ]ιν φοίνικες ἄλ[λα]ι[
[(ίνεται) ἐπὶ τὸ αὐτὸ συνεστῶτες φ[οίνι]κες] ἀριθμῷ ροη[
ἐκ[κε]κομμένη α γενάμ[ενοι δὲ ε]ὶς ἕτερον χω[ρίον
ἐπεθεωρήσαμεν αὐτὸ μὲν [κείμενον ὅ]λον ἐν χέρσῳ[
καὶ ἄχρηστον ἐν τῷ κτήμα[τι . . . .]μω αὐτο[
μεν περσέαν μεγάλην ἐκ[κεκομμένην α]˘ καὶ μ[ξω]
φυτούσας δύο καὶ σώματα μ[εγάλα
ματι τὸ δὲ ἕτ[ερον] ἓν διὰ του[
αὐτοῦ γεουχῶν μετα φ[ἐσκορ]
πισμένας φοίνικας [τέ]σσ[αρ
συνεστηκότο[ς] κ[αὶ] ἐγνώσθη[
περ[σέ]ινος κείμ[εν]ος ὡς π[
επει παρ[. . . .]η [ὁμ]ολογῶ τα[
ην ἀμπελ[ιτι]κ( ) ἀ[. . . . ,]υτη[
ης καὶ ἐσπ[αρμέν]ν[
τοις[
του[

Corpus Papyrorum Hermopolitanorum p. 65. N. 8.

Col. I.

]εκει[ ]ο
]ου ωνιου
]εν ἄχρηστος
]ου Ἰουλίαν
το σει]τωνει
]μ[
]απτ[. .]ν
δ]εσπότης
]ν καὶ τα
]σχεν
]εν ονομ[α]τι
]ουλην
]παρα
]περισω
]τα μεν
]ισονε
]αιονε
]ως
]τα
].
]ἐπιτρ(οπ..)
]εἰ(πεν)
]λλα

Col. II.

[17 litt.]ος τοῦ δ[ικα]ίου τῆς πόλεως καὶ ἐκ[
[13 litt.]ηκειν τήν τε κατασπορὰν καὶ τὰ ἄλλα πρά[γματα ὅσα προσ]
ήκει τῇ οὐσίᾳ μέχρις ἂν ἐπιδημήσῃ ἐπ' ἀγαθοῖς ὁ λαμπρότ[ατος ἡγεμών(·)
[κατ]ειδόντες τὴν σὴν ἐντολὴν ὅ τε Διοσκουρίδης καὶ ὁ Σαρα[πάμμων ἐπὶ προ]
[φ]ά[σ]ει σπερμάτων λαβόντες τὰς κλῖδας τῶν θησ[α]υρῶν [διερευνήσαντες]
πάντα τόν τε σῖτον πεπράκασιν ἐμπόρ[οι]ς καὶ τὸν ἄρακα[
ἐν κατασπορᾷ ἐν σ(l. ἀρτάβαις) ρ πεπρᾶσθαι ὑπ' αὐτῶν καὶ φακὰς [ἐν σ]
ἤνεγκαν εἰς Ἑρμούπολιν εἰς ἰδίαν αὐτῶν χρείαν καὶ[
κριθῆς ταύτης τὸ πλεῖστον πεπράκασιν καὶ ταῦτα πάν[τα ποιήσαντες διενεί]
μαντο τὸ ἀργύριον(·) ἡμῶν δὲ παρ[ό]ν[τω]ν χωρ[
σαντο πρ[ὸ]ς ἀλλήλους ιερ[. . . . . . .]·π[α]ρέδοσαν τῷ ω[
α[. . . . .]υ θησαυρ[

Corpus Papyrorum Hermopolitanorum p. 7 N. 9


[τ]οις τῆς οἰκ[ίας
[ ]ε ἔνεστιν [
[ ]ηρια [
[ ]. ους λύχνους[
[ ]τινα γρυτάρια πολλα[
[ ]καὶ σκεύη ποικίλα ὑέ[λεα
[δακτυ]λίων πολυτίμων καὶ[
[ ]μόσχον ἀπὸ Τεμσίρεως καὶ[
[χ]όρτ[ον] ἀπενεχ[θέ]ντα εἰς τὴν Βώου ἐν γ πλοίο[ι]ς
[ ]μέρος εἰς τὴν Θηλφιν ἀ[π]ήνεγκεν ὁ Διοσκουρίδη[ς
[ ]λει κτήσει οὐδὲ τούτοις ἀρκεσθέντες ἐπεχείρησαν[
ξύλων ἐλθεῖν(·) επεμψαν ἔπεμψαν γὰρ τοὺς ὠνησαμέν[ους
[συντ]ίμησιν αὐτῶν(·) ὁ δὲ θάνατος τοῦ π[ατρὸ]ς Διοσκουρί[δην ἐκώλυσε
[ ]μὴ πωλῖσθαι αὐτά(·) καὶ χοίρου[ς] ἐν τῇ Βωου[
[. .]τ. δο[. . . . .]αν λοιπὸν μετὰ ταῦτα πάντα ἔρχο[ν]ται εἰς τοσοῦτο
[ῥ]αδιουργίας(·) ὁ Διοσκουρίδης ὑπισχνῖται τῷ Σαραπά[μμωνι
[. . .]ιαν καὶ τάλ(αντα) ε[ ]α καὶ τὴν Πτολ[

59 *Expositionis Nr. 273 Papyrus 20,7 : 5,5 cm Corpus Papyrorum Hermopolitanorum p. 49 N. 99.*
